Конъюнктив в независимых предложениях может обозначать сомнение (dubitativus), призыв к совместному действию, часто в сочетании с частицами ἄγε, φέρε, βοῦλε (hortativus), запрещение, причем обычно в аористной форме. Примеры дубитативного и гортативного конъюнктива ἀνδρείως μαχώμεθα ὑπὲρ τῆς πατρίδος *будем храбро сражаться за отечество!* μὴ ἀποκρίνωμαι; *не отвечать ли мне?*

Оптатив выражает желание, например: εἴθε πείθοιο *если бы ты повиновался*; ὑγιαίνοιτε, ὦ φίλοι *будьте здоровы, друзья!*

Отрицание в индикативе (за исключением индикатива, выражающего нереальное желание) οὐ, в императиве, конъюнктиве, оптативе (а также в индикативе, выражающем нереальное желание) μή.

Поскольку в русском языке нет развитой системы сослагательного наклонения и совсем отсутствует желательное наклонение, то при переводе греческих конъюнктивных и оптативных форм приходится использовать как частицу *бы*, так и слова: *пусть, допустим* (особ. в 3-м л. множ. чис.), *давайте, будем*, частицу *ка* (особ. в 1-м л. множ. чис.), а также повелительную форму (во 2-м л.).

Особые значения приобретают наклонения в сочетании с частицей ἄν (§ 110).

В зависимых предложениях конъюнктив и оптатив служат для выражения подчинительной связи по правилу согласования наклонений (§ 112).

Ἐπιστολή

Ἀπίων Ἐπιμάχῳ τῷ πατρὶ χαίρειν

Πρὸ μὲν πάντων σὺ ὑγιαίνοις καὶ εὖ πράττοις. Ὑγιαίνοιεν δὲ καὶ ἡ ἀδελφή μου καὶ ὁ ἀδελφός μου. Χάριν ἔχω τῷ κυρίῳ Σαράπιδι, ὅτι διαβαίνοντά με εἰς τὴν Ἰταλίαν ἔσωσεν (*спас* – аорист). Ἐν Μισήνοις καλῶς μοί ἐστιν. Εἰ σύ, ὦ πάτερ, γράφοις μοι ἐπιστολὴν περὶ τῆς σωτηρίας σου, ἡδοίμην ἄν (§ 110). Ἡδονὴν παρέχοι σοι εἰκών μου, ἣν σοι πέμπω. Ἀσπάζου πάντας τοὺς φίλους ἡμῶν. Ὑγιαίνοιτε.

Κύων κρέας φέρουσα

Κύων κρέας ἐν τῷ στόματι ἔχουσα ποταμὸν διέβαινεν. Ἡλίου δὲ λάμποντος βλέπει ἐν τῷ ὕδατι τὴν ἑαυτῆς σκιάν. Νομίζουσα οὖν ἑτέραν εἶναι κύνα, μεῖζον κρέας φέρουσαν, πρὸς αὐτὴν λέγει· «Εἴθε ἔχοιμι καὶ τοῦτο τὸ κρέας, ὃ μεῖζον εἶναι φαίνεται. Ἄγε δὴ διώκω αὐτὴν καὶ ἀφαρπάζω». Ἅμ᾽ ἔπος, ἅμ᾽ ἔργον. Διωκούσῃ δ᾽ ἐκπίπτει ἐκ τοῦ στόματος τὸ κρέας, ὅτε πρὸς τοῦτο χάσκειν σπουδάζει. Οὕτως ἀμφότερα ἀποβάλλει, τὸ μὲν ὑπὸ τῶν κυμάτων φερόμενον, τὸ δὲ οὐδὲ ὑπάρχον. Καὶ οἰμώζουσα λέγει πρὸς ἑαυτήν· «Εἴθε εἶχον τὸ ὑπὸ τῶν κυμάτων καταφερόμενον κρέας. Ἀλλὰ δίκαια πάσχω, ἢ τῷ μείονι οὐ στέργουσα μεῖζον ἐδίωκον».

1. Μὴ μόνον λέγωμεν, ἀλλὰ καὶ πράττωμεν. 2. Σωφρόνως βουλευώμεθα. 3. Τί λέγω πρὸς τοὺς σοὺς λόγους; 4. Πότερον μένωμεν ἢ πορευώμεθα; 5. Εἴθε οἱ στρατιῶται εὖ φυλάττοιεν τὰς πόλεις. 6. Ἀνὴρ ἀχάριστος μὴ νομιζέσθω φίλος. 7. Εἴθε αεὶ τὴν ἀλήθειαν λέγοις, ὦ παῖ. 8. Βίας λέγει ἀτυχῆ εἶναι τὸν ἀτυχίαν μὴ φέροντα. 9. Οἱ κλέπται καὶ οἱ προδόται ἀγέσθων εἰς τὸ δεσμωτήριον. 10. Τῶν τῶν Περσῶν τριήρων πλησιαζουσῶν οἱ Ἀθηναῖοι μόνοι ὑπὲρ τῆς ἐλευθερίας μάχεσθαι παρεσκευάζοντο. 11. Ἅμα τῇ ἡμέρᾳ ἧκον αὐτόμολοι παρὰ μεγάλου βασιλέως στρατιᾶς. 12. Ἕκαστος μᾶλλον ἀποδέχοιτο δικαίαν πενίαν ἢ πλοῦτον ἄδικον. 13. Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων βουλῇ καὶ τῷ δήμῳ χαίρειν. 14. Ψευδόμενος οὐδεὶς λανθάνει πολὺν χρόνον. 15. Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς.

Упражнения. Проспрягать в презенсном конъюнктиве и оптативе активного и медио-пассивного залогов глагол λέγω. Образовать словарную форму (1-е л. един. чис. praes. ind. act.) от имперфектных форм глаголов: ᾤμωζον, ἴσχυον, διέβαλλον, περιέβαινον, προέπεμπον (προὔπεμπον), ἐνέβαλλον, συνεβούλευον, ἐξέφερον.

Занятие 21

§108. Слитные глаголы (verba contracta)

В так называемых слитных глаголах последние краткие гласные звуки основы α, ε, ο сливаются с соединительными гласными, суффиксами, личными окончаниями, ранее испытавшими слияние.

Поскольку ειν в инфинитиве не заключает в себе первоначального дифтонга, а является результатом слияния ε + εν, то в слитных глаголах йота в этой форме отсутствует.

В един. чис. активного оптатива помимо обычных окончаний бывают окончания οίην, οίης, οίη.

В словаре у слитных глаголов дается неслитная форма для выявления презенсной основы: νικάω *побеждать*, κοσμέω *украшать*, δηλόω *обнаруживать*.

§ 109. Слитные глаголы на άω

Правила слияния: α + ε, η = α α + ο, ου, ω = ω
α + ει, ῃ = ᾳ α + οι = ῳ

Глаголы на άω обычно отыменные: νίκη *победа*, νικάω *побеждать*.

Спряжение слитного глагола на άω

Activum

		Indicativus: Praesens	Indicativus: Imperfectum	Coniunctivus
S.	1.	νικῶ (άω)	ἐνίκων (αον)	νικῶ (άω)
	2.	νικᾷς (άεις)	ἐνίκας (αες)	νικᾷς (άῃς)
	3.	νικᾷ (άει)	ἐνίκα (αε)	νικᾷ (άῃ)
Pl.	1.	νικῶμεν (άομεν)	ἐνικῶμεν (άομεν)	νικῶμεν (άωμεν)
	2.	νικᾶτε (άετε)	ἐνικᾶτε (άετε)	νικᾶτε (άητε)
	3.	νικῶσι(ν) (άουσι)	ἐνίκων (αον)	νικῶσι(ν) (άωσι)

		Optativus	Imperativus	Infinitivus / Participium
S.	1.	νικῴην (αοίην), -ῷμι		Infinitivus: νικᾶν (άεν)
	2.	νικῴης (αοίης), -ῷς	νίκα (αε)	
	3.	νικῴη (αοίη), -ῷ	νικάτω (αέτω)	Participium:
Pl.	1.	νικῷμεν (άοιμεν)		νικῶν (άων)
	2.	νικῷτε (άοιτε)	νικᾶτε (άετε)	νικῶσα (αοντjα)
	3.	νικῷεν (άοιεν)	νικώντων (αόντων)	νικῶν (άον)

Medium-passivum

	Indicativus		Coniunctivus
	Praesens	Imperfectum	
S.	1. νικῶμαι (άομαι)	ἐνικώμην (αόμην)	νικῶμαι (άωμαι)
	2. νικᾷ (άῃ)	ἐνικῶ (άου)	νικᾷ (άῃ)
	3. νικᾶται (άεται)	ἐνικᾶτο (άετο)	νικᾶται (άηται)
Pl.	1. νικώμεθα (αόμεθα)	ἐνικώμεθα (αόμεθα)	νικώμεθα (αώμεθα)
	2. νικᾶσθε (άεσθε)	ἐνικᾶσθε (άεσθε)	νικᾶσθε (άησθε)
	3. νικῶνται (άονται)	ἐνικῶντο (άοντο)	νικῶνται (άωνται)

	Optativus	Imperativus	Infinitivus
S.	1. νικῴμην (αοίμην)		νικᾶσθαι (άεσθαι)
	2. νικῷο (άοιο)	νικῶ (άεσο)	
	3. νικῷτο (άοιτο)	νικάσθω (αέσθω)	Participium
Pl.	1. νικῴμεθα (αοίμεθα)		νικώμενος (αόμενος)
	2. νικῷσθε (άοισθε)	νικᾶσθε (άεσθε)	νικωμένη (αομένη)
	3. νικῷντο (άοιντο)	νικάσθων (αέσθων)	νικώμενον (αόμενον)

В глаголах ζάω *жить*, πεινάω *голодать*, διψάω *жаждать*, χράω *прорицать*, χράομαι *пользоваться* слияние происходит в η, а не в α, потому что исторически основа в этих глаголах оканчивалась на «эту»: ζῇς, ζῇ, ζῆναι.

§ 110. Функции частицы ἄν

Частица ἄν, во многом соответствующая русской частице *бы*, употребляется с разными наклонениями и отглагольными частями речи.

а) индикатив исторического времени с ἄν выражает противоположность действительности (casus irrealis): ἔλεγον ἄν *я говорил бы* (но я не говорю);

б) конъюнктив с ἄν выражает будущее действие (casus futuralis) или обобщение (casus iterativus): ὅστις ἂν λέγῃ *всякий, кто будет говорить, кто бы ни говорил*;

в) оптатив с ἄν выражает возможность (casus potentialis): λέγοιμι ἄν *я мог бы сказать*;

г) инфинитив или причастие с ἄν выражает возможность или противоположность действительности: λέγων ἄν *тот, кто мог бы говорить*, λέγειν ἄν με *я мог бы говорить, я говорил бы*.

Περὶ Νιόβης

Νιόβη, Διὸς ἐγγόνη, Ἀμφίονος τοῦ τῶν Θηβαίων βασιλέως γυνή, υἱοὺς μὲν ἑπτά, θυγατέρας δ' ἴσας ἔχουσα, εἰς ὕβριν ἧκεν. Ὁρῶσα οὖν Θηβαίας, τὴν Λητὼ θυσίαις καὶ εὐχαῖς τιμώσας, ἠρώτα, τίνα θεῶν τιμῷεν. Ἐκεῖναι μὲν δὴ ἔλεγον· «Τὴν Λητὼ τιμῶμεν καὶ τὼ παῖδε (dualis) Ἀπόλλωνα καὶ Ἄρτεμιν.» Ἡ δὲ Νιόβη ἐβόα· «Τὴν Λητὼ μὴ τιμᾶτε, ὦ γυναῖκες καὶ παρθένοι Θηβαῖαι. Εἰ δὲ τολμῷτε τιμᾶν αὐτήν, τιμωρίαν ὑπομένοιτ' ἄν· ἐγὼ γὰρ καὶ εὐγενείᾳ ἐκείνην νικῶ καὶ πολὺ πλείους ἔχω παῖδας.» Αἱ μὲν Θηβαῖαι, *ἀκούσασαι ταῦτα, οὐκ ἐτόλμων τῇ Λητοῖ θύειν. Ἡ δὲ Λητώ, *ἀκούσασα τὴν ὕβριν Νιόβης, κελεύει Ἀπόλλω καὶ Ἄρτεμιν πάντας τοὺς παῖδας Νιόβης κατατοξεύειν. Οἱ μὲν οὖν Νιόβης παῖδες ὑπ' Ἀπόλλωνος καὶ Ἀρτέμιδος *ἐτελεύτησαν, αὐτὴ δὲ ἡ Νιόβη πέτρα γίγνεται, ἣ καὶ νῦν δακρύει.

*ἀκούσασαι, ἀκούσασα, ἐτελεύτησαν — формы аориста, прошедшее время совершенного вида (§ 120)

Ἀποφθέγματα

Διονυσίου κόλαξ τις βλέπων τὸν τύραννον μετά τινων φίλων γελῶντα (ἀπεῖχε δ' ἀπ' αὐτῶν τοσοῦτον, ὥστε μὴ ἀκούειν) καὶ αὐτὸς ἐγέλα. Ἐρωτῶντος δὲ τοῦ Διονυσίου, διὰ τί οὐκ ἀκούων τῶν λεγομένων γελᾷ, ἔλεγεν· «Ὑμῖν πιστεύω τὰ λεγόμενα γελοῖα εἶναι».

Διογένης, ὀδυρομένου τινὸς ἐπεὶ ἐπὶ ξένης ἔμελλε τελευτᾶν, ἔλεγεν· «Τί ὀδύρῃ, ὦ μάταιε; πανταχόθεν γὰρ ἡ ὁδός ἐστιν ἡ αὐτὴ εἰς Ἅιδου».

Δημάρατος, ἀνθρώπου τινὸς πονηροῦ κόπτοντος αὐτὸν ἀκαίροις ἐρωτήμασιν, καὶ τόδε πολλάκις ἐρωτῶντος τίς ἄριστος εἴη (§ 112) Σπαρτιατῶν, ἔλεγεν· «Ὃς σοι ἀνομοιότατος».

1. Οἱ Σπαρτιᾶται ἐτίμων μάλιστα τοὺς νικῶντας καὶ τοὺς ὑπὲρ τῆς πατρίδος ἐν μάχῃ τελευτῶντας. 2. Ὡς Ὅμηρος λέγει, Νέστωρ πάντων τῶν Ἀχαιῶν μάλιστα ὑπ' Ἀγαμέμνονος διὰ τὴν γνώμην καὶ τὸ γῆρας ἐτιμᾶτο. 3. Εἴθε πάντες οἱ διδάσκαλοι ὑπὸ τῶν μαθητῶν κατ' ἀξίαν τιμῷντο. 4. Πολλοὶ τὰ πρὸ τῶν ποδῶν οὐχ ὁρῶσιν. 5. Ὁ ἐλέφας τῷ μυκτῆρι χρῆται ὥσπερ χειρί. 6. Φίλους μὴ ταχὺ κτῶ. 7. Λέγουσι τοὺς Συβαρίτας πολυτελέσι χρῆσθαι τραπέζαις. 8. Οἱ πολέμιοι, δόρατα ἔχοντες παχέα καὶ μακρά, ὅσα ἀνὴρ ἂν φέροι μόλις, τούτοις ἐπειρῶντο ἀμύνεσθαι. 9. Ὁπόσα φάρμακα οὐκ ἰᾶται, σίδηρος ἰᾶται, ὁπόσα σίδηρος οὐκ ἰᾶται, πῦρ ἰᾶται· ὁπόσα πῦρ οὐκ ἰᾶται, ταῦτα χρὴ νομίζειν ἀνίατα (Ἱπποκράτης). 10. Τίς ἂν ᾤετο ταῦτα γίγνεσθαι; 11. Τίς οὐκ ἂν θαυμάζοι

τὴν τῶν Σπαρτιατῶν ἀνδρείαν; 12. Ὡς ἂν βούληται, πάντα γίγνεται. 13. Ὅ τι ἂν πράττῃς, τούτων ὡς κάλλιστα καὶ προθυμότατα φρόντιζε: 14. Πῶς ἄν τις τολμῴη ἐρίζειν ὑμῖν; 15. Ὡς αἰσχρὸν εὖ ζῆν ἐν πονηροῖς ἤθεσιν. 16. Ῥᾷον ἐρωτᾶν ἢ ἀποκρίνεσθαι., 17. Μὴ ἐξαπατῶμεν ἡμᾶς αὐτούς.

Упражнения. Проспрягать во всех формах презенсной системы глагол τιμάω. Определить следующие формы (в скобках указано количество одинаковых форм с разными значениями): ἀγαπῶ (3), ἀγαπᾷ (4), ἀγαπώντων (2), ἀγαπῶσι (3), ἠγάπων, ἀγαπῶν, ἀγαπῴη.

Занятие 22

§ 111. Слитные глаголы на -έω

Правила слияния: ε + ε = ει ε + η(ῃ) = η(ῃ) ε + ει = ει
ε + ο = ου ε + ω = ω ε + οι = οι

Спряжение слитного глагола на -έω

Activum

	Indicativus: Praesens	Indicativus: Imperfectum	Coniunctivus
S. 1.	κοσμῶ (έω)	ἐκόσμουν (εον)	κοσμῶ (έω)
2.	κοσμεῖς (έεις)	ἐκόσμεις (εες)	κοσμῇς (έῃς)
3.	κοσμεῖ (έει)	ἐκόσμει (εε)	κοσμῇ (έῃ)
Pl. 1.	κοσμοῦμεν (έομεν)	ἐκοσμοῦμεν (έομεν)	κοσμῶμεν (έωμεν)
2.	κοσμεῖτε (έετε)	ἐκοσμεῖτε (έετε)	κοσμῆτε (έητε)
3.	κοσμοῦσι(ν)(έονσι)	ἐκόσμουν (εον)	κοσμῶσι(ν) (έωνσι)

	Optativus	Imperativus	Infinitivus / Participium
S. 1.	κοσμοίην (εοίην), -οῖμι		Infinitivus: κοσμεῖν (έεν)
2.	κοσμοίης (εοίης), -οῖς	κόσμει (εε)	
3.	κοσμοίη (εοίη), -οῖ	κοσμείτω (εέτω)	Participium
Pl. 1.	κοσμοῖμεν (έοιμεν)		κοσμῶν (έων)
2.	κοσμοῖτε (έοιτε)	κοσμεῖτε (έετε)	κοσμοῦσα (έοντjα)
3.	κοσμοῖεν (έοιεν)	κοσμούντων (εόντων)	κοσμοῦν (έον)

Medium-passivum

	Indicativus		Coniunctivus
	Praesens	Imperfectum	
S. 1.	κοσμοῦμαι (έομαι)	ἐκοσμούμην (εόμην)	κοσμῶμαι (έωμαι)
2.	κοσμῇ (έῃ)	ἐκοσμοῦ (έεσο)	κοσμῇ (έῃ)
3.	κοσμεῖται (έεται)	ἐκοσμεῖτο (έετο)	κοσμῆται (έηται)
Pl.1.	κοσμούμεθα (εόμεθα)	ἐκοσμούμεθα (εόμεθα)	κοσμώμεθα (εώμεθα)
2.	κοσμεῖσθε (έεσθε)	ἐκοσμεῖσθε (έεσθε)	κοσμῆσθε (έησθε)
3.	κοσμοῦνται (έονται)	ἐκοσμοῦντο (έοντο)	κοσμῶνται (έωνται)

	Optativus	Imperativus	Infinitivus
S. 1.	κοσμοίμην (εοίμην)		κοσμεῖσθαι (έεσθαι)
2.	κοσμοῖο (έοιο)	κοσμοῦ (έεσο)	Participium
3.	κοσμοῖτο (έοιτο)	κοσμείσθω (εέσθω)	
Pl. 1.	κοσμοίμεθα (εοίμεθα)		κοσμούμενος (εόμενος)
2.	κοσμοῖσθε (έοισθε)	κοσμεῖσθε (έεσθε)	κοσμουμένη (εομένη)
8.	κοσμοῖντο (έοιντο)	κοσμείσθων (εέσθων)	κοσμούμενον (εόμενον)

В односложных глагольных основах на ε слияние происходит только в ει. Остальные формы неслитные. Например: *πλέω плыву*.

Так же спрягается глагол δέομαι *нуждаюсь, прошу*, безлично δεῖ *нужно*; но глагол δέω *связываю* претерпевает слияние во всех формах: δῶ, δεῖς, δεῖ, δοῦμεν...; но πλέω, πλεῖς... πλέομεν.

§ 112. Последовательность (согласование) наклонений

Выше (§ 15) было объяснено, что все шесть времен греческого глагола делятся на главные и исторические времена. Следует добавить, что конъюнктив и императив считаются главными формами (независимо от их времени), а оптатив и praesens historicum (§ 16) историческими.

Правило последовательности (согласования) наклонений в общем сводится к следующему: если глагол-сказуемое в управляющем предложении употреблен в главном времени, то глагол в придаточном предложении ставится в конъюнктиве; если в управляющем предложении историческое время, то в придаточном вместо индикатива или конъюнктива может быть употреблен оптатив. Это правило, называемое

по-латыни consecutio modorum, наиболее полно применяется в целевых предложениях и в дополнительных, зависящих от глаголов, выражающих боязнь (§§ 113, 122).

§ 113. Дополнительные предложения

В дополнительных предложениях, зависящих от глаголов, выражающих боязнь, применяется правило последовательности наклонений: конъюнктив после главных времен, оптатив – после исторических. Союз μή *что, чтобы не* обозначает нечто нежелаемое, союз μὴ οὐ *что не* – нечто желаемое:

φοβοῦμαι, μή τι πάσχῃς *боюсь, как бы ты чего не потерпел*;
ἐφοβούμην, μή τι πάσχοις *я боялся, как бы ты чего не потерпел.*

Дополнительные предложения, зависящие от глаголов, выражающих чувства, душевные аффекты, говорение, вводятся союзами ὅτι, ὡς *что, чтобы*. В таких предложениях после главных времен употребляется индикатив, который после исторических времен может переходить в оптатив. Например: οἱ στρατηγοὶ ἐθαύμαζον, ὅτι Κῦρος οὔτε ἄλλον πέμποι, οὔτε αὐτὸς φαίνοιτο *стратеги удивлялись, что Кир никого другого не посылает, ни сам не появляется.*

Как говорилось выше (§§ 38, 45), в зависимости от глаголов со значением *говорить* могут быть употреблены инфинитивные обороты, а в зависимости от глаголов, выражающих чувства и душевные аффекты, – accusativus cum participio.

Περὶ Ἀχιλλέως

Πενθεσίλεια, ἡ τῶν Ἀμαζόνων βασίλεια, Ἄρεως μὲν θυγάτηρ, Θρᾷττα δὲ τὸ γένος, τοῖς Τρωσὶ ἐν τῷ πρὸς Ἀχαιοὺς πολέμῳ βοηθεῖ, ἀλλὰ κτείνει αὐτὴν ἀριστεύουσαν Ἀχιλλεύς, οἱ δὲ Τρῶες εὐπρεπῶς αὐτὴν θάπτουσιν. Ὁ δὲ Ἀχιλλεὺς καὶ Θερσίτην ἀναιρεῖ, λοιδορούμενος πρὸς αὐτοῦ καὶ ὀνειδιζόμενος ὡς τῆς Πενθεσιλείας ἐρῶν· καὶ ἐκ τούτου στάσις γίγνεται τοῖς Ἀχαιοῖς περὶ τοῦ Θερσίτου φόνου. Μετὰ δὲ ταῦτα ὁ Ἀχιλλεὺς εἰς Λέσβον πλεῖ καὶ θύων Ἀπόλλωνι καὶ Ἀρτέμιδι καὶ Λητοῖ καθαίρεται τοῦ φόνου ὑπ' Ὀδυσσέως.

Περὶ Γαλακτοφάγων

Γαλακτοφάγοι, Σκυθικὸν ἔθνος, οἰκίας οὐκ ἔχουσιν, ὥσπερ καὶ οἱ πλεῖστοι Σκυθῶν· τροφὴν δ' ἔχουσι γάλα μόνον ἵππειον, ἐξ οὗ τυρὸν

ποιοῦνται, ἐσθίουσιν· διὰ τοῦτό εἰσι καὶ δυσμαχώτατοι, σὺν ἑαυτοῖς πανταχοῦ τὴν τροφὴν ἔχοντες. Εἰσὶ δὲ καὶ δικαιότατοι· παρὰ τούτοις οὐδεὶς οὔτε φθονῶν ἐστιν οὔτε μισῶν οὔτε φοβούμενος διὰ τὴν τοῦ βίου κοινότητα καὶ δικαιοσύνην. Μάχιμοι δ' οὐχ ἧττον αὐτῶν αἱ γυναῖκες, ἢ οἱ ἄνδρες καὶ συμπολεμοῦσιν αὐτοῖς (Στοβαῖος).

1. Μασσαγέται κατοικοῦσιν οἱ μὲν ὄρη, οἱ δὲ πεδία, οἱ δὲ ἕλη. 2. Πάντα ῥεῖ καὶ οὐδὲν μένει (Ἡράκλειτος). 3. Ἐλέφαντα ἐκ μυίας ποιεῖς. 4. Ὃν γὰρ θεοὶ φιλοῦσιν, ἀποθνήσκει νέος. 5. Ὀρφεὺς ᾄδων ἐκίνει λίθους καὶ δένδρα. 6. Ἅπαντα τὰ ζητούμενα εὑρίσκεται. 7. Τίς οὐκ ἂν φιλοίη τοὺς ἑαυτοῦ γονέας; 8. Αἱ τέχναι τὴν φύσιν μιμοῦνται. 9. Μιμοῦ τὰ σεμνά, μὴ κακοὺς μιμοῦ τρόπους. 10. Οἱ Ἀθηναῖοι πολιορκούμενοι κατὰ γῆν καὶ κατὰ θάλατταν ἠπόρουν, τί χρὴ ποιεῖν οὔτε νεῶν οὔτε συμμάχων αὐτοῖς ὄντων (§ 125) οὔτε σίτου. 11. Ἃ ψέγομεν ἡμεῖς, ταῦτα μὴ μιμώμεθα. 12. Κυβερνήτου νοσοῦντος ὅλον τὸ πλοῖον κινδυνεύει. 13. Οἱ Σπαρτιᾶται φοβούμενοι, μὴ οἱ πολῖται ὑπὸ τῶν ξένων διαφθείροιντο, ξενηλασίας ἐποιοῦντο. 14. Παρὰ τοῖς Ἕλλησιν οἱ τῆς πατρίδος εὐεργέται ἐν πρυτανείῳ ἐσιτοῦντο. 15. Ἔλεγον πολλοί, ὅτι παντὸς ἄξια λέγοι Σκύθης. 16. Ὁ στρατηγὸς λέγει, ὅτι δεῖ μάχεσθαι. 17. Φοβοῦμαι, μὴ νοσῇς· ὁρῶ σε γὰρ ἀθυμοῦντα. 18. Ἀποροῦμεν, τί ποιῶμεν. 19. Κῦρος ἐν φόβῳ ἦν, μὴ οὐ μάχοιτο βασιλεύς. 20. Κλέαρχος ἐπολέμει τοῖς Θρᾳξὶ τοῖς ὑπὲρ Ἑλλήσποντον οἰκοῦσι καὶ ὠφέλει τοὺς Ἕλληνας. 21. Ξενοφῶν Ἀττικὴ μέλιττα ἐκαλεῖτο. 22. Ὀργὴ φιλοῦντος μικρὸν ἰσχύει χρόνον.

Упражнения. Проспрягать во всех формах презенсной системы глагол ποιέω. Определить части речи и их формы:

φιλοῦσι (2), φίλων, φιλῶν, φιλεῖσθε (2), φιλούντων (2), εὐτυχής, εὐτυχῆς, εὐτυχεῖς (2), φόβου, φοβοῦ, φθόνῳ, φθονῶ (2).

Занятие 23

§ 114. Слитные глаголы на όω

Правила слияния: ο + ε = ου   ο + η = ω   ο + ει, ῃ = οι
ο + ο = ου   ο + ω = ω   ο + οι = οι

Глаголы на όω обычно отыменные: δῆλος *явный*, δηλόω *обнаруживать*.

Спряжение слитного глагола на όω

Activum

	Indicativus: Praesens	Indicativus: Imperfectum	Coniunctivus
S. 1.	δηλῶ (όω)	ἐδήλουν (οον)	δηλῶ (όω)
2.	δηλοῖς (όεις)	ἐδήλους (οες)	δηλοῖς (όῃς)
3.	δηλοῖ (όει)	ἐδήλου (οε)	δηλοῖ (όῃ)
Pl. 1.	δηλοῦμεν (όομεν)	ἐδηλοῦμεν (όομεν)	δηλῶμεν (όωμεν)
2.	δηλοῦτε (όετε)	ἐδηλοῦτε (όετε)	δηλῶτε (όητε)
3.	δηλοῦσι(ν) (οονσι)	ἐδήλουν (οον)	δηλῶσι(ν) (όωνσι)

	Optativus	Imperativus	Infinitivus / Participium
S. 1.	δηλοίην (οοίην), οῖμι		Infinitivus: δηλοῦν (όεν)
2.	δηλοίης (οοίης), οῖς	δήλου (οε)	
3.	δηλοίη (οοίη), οῖ	δηλούτω (οέτω)	Participium
Pl. 1.	δηλοῖμεν (όοιμεν)		δηλῶν (όων)
2.	δηλοῖτε (όοιτε)	δηλοῦτε (όετε)	δηλοῦσα (όοντjα)
3.	δηλοῖεν (όοιεν)	δηλούντων (οόντων)	δηλοῦν (όον)

Medium-passivum

	Indicativus: Praesens	Indicativus: Imperfectum	Coniunctivus
S. 1.	δηλοῦμαι (όομαι)	ἐδηλούμην (οόμην)	δηλῶμαι (όωμαι)
2.	δηλοῖ (όῃ)	ἐδηλοῦ (όου)	δηλοῖ (όῃ)
3.	δηλοῦται (όεται)	ἐδηλοῦτο (όετο)	δηλῶται (όηται)
Pl. 1.	δηλούμεθα (οόμεθα)	ἐδηλούμεθα (οόμεθα)	δηλώμεθα (οώμεθα)
2.	δηλοῦσθε (όεσθε)	ἐδηλοῦσθε (όεσθε)	δηλῶσθε (όησθε)
3.	δηλοῦνται (όονται)	ἐδηλοῦντο (όοντο)	δηλῶνται (όωνται)

	Optativus	Imperativus	Infinitivus / Participium
S. 1.	δηλοίμην (οοίμην)		Infinitivus: δηλοῦσθαι (όεσθαι)
2.	δηλοῖο (όοιο)	δηλοῦ (όεσο)	
3.	δηλοῖτο (όοιτο)	δηλούσθω (οέσθω)	Participium
Pl. 1.	δηλοίμεθα (οοίμεθα)		δηλούμενος (οόμενος)
2.	δηλοῖσθε (όοισθε)	δηλοῦσθε (όεσθε)	δηλουμένη (οομένη)
3.	δηλοῖντο (όοιντο)	δηλούσθων (οέσθων)	δηλούμενον (οόμενον)

§ 115. Вопросительные предложения

1. Прямой вопрос.

Одночленные прямые вопросы вводятся вопросительными местоимениями, наречиями, а также частицами: ἆρα, ἦ *ли*, οὐ, ἆρ' οὐ, οὐκοῦν *не... ли, разве... не* (предполагается положительный ответ), μή, ἆρα μή, μῶν (= μὴ οὖν) *неужели, разве* (предполагается отрицательный ответ).

Двучленные прямые вопросы вводятся частицами πότερον... ἤ *ли... или*.

В прямых вопросах в зависимости от общего смысла употребляются как индикатив, так и конъюнктив и оптатив. Например:

τί ποιῶ, ποῖ φεύγω;	*что мне делать, куда бежать?*
ἆρ' ἀληθὲς τοῦτό ἐστιν;	*правда ли это?*
οὐκ ἀληθὲς τοῦτό ἐστιν;	*разве это неправда?*
μὴ ἀληθὲς τοῦτό ἐστιν;	*разве это правда?*
πότερον ἀληθὲς τοῦτό ἐστιν, ἢ οὔ;	*правда это или нет?*

2. Косвенный вопрос.

Косвенные вопросы вводятся вопросительными и неопределенно-вопросительными местоимениями, наречиями, а также частицами: εἰ *ли*, πότερον (εἰ, ἆρα)... ἤ *ли... или*, εἴτε... εἴτε *или... или*.

Если сказуемое управляющего предложения употреблено в главном времени, то в косвенном вопросе удерживается такое наклонение, какое было бы, если бы вопрос был прямым, т. е. индикатив или конъюнктив (реже оптатив); после исторических времен может быть оптатив. Например:

ἐρωτᾷ, τί ποιῇ *он спрашивает, что ему делать*;

ἠρώτα, τί ποιεῖ (ποιοίη) *он спрашивал, что ему делать*;

ἐρωτᾷ, εἰ ἀληθές ἐστι τοῦτο, ἢ ψευδές *он спрашивает, правда это или ложь.*

Περὶ τῶν ἐφόρων

Οἱ ἐν τῇ Σπάρτῃ ἔφοροι ἐκαλοῦντο ἀπὸ τοῦ ἐφορᾶν πάντα· εἶχον δὲ μεγάλην δύναμιν· ἐζημίουν γὰρ τὸν ἀδικοῦντα καὶ τὸν παρανομοῦντά τι. Οἱ γὰρ Σπαρτιᾶται οὐ μόνον τοὺς ἀνδρείους καὶ ἐσθλοὺς πολίτας μεγίστων τιμῶν ἠξίουν, ἀλλὰ καὶ τοὺς κακοὺς ἰσχυρῶς ἐκόλαζον. Ἱκανοὶ δὲ καὶ ἦσαν ζημιοῦν τοὺς βασιλέας ἀδικοῦντας καί, ὡς ἐν τοῖς ἀγῶσιν οἱ ἐπιστάται, αὐτίκα ἐζημίουν,

εἴ τινα ὁρῷεν παρανομοῦντά τι· τοὺς δ' ἄρχοντας κακόν τι δρῶντας ὁρῶντες οὐκ εἴων ἄρχειν αὐτούς, ἀλλ' αὐτίκα τῆς ἀρχῆς ἔπαυον. Ἐφεώρων δὲ καὶ τὸν βασιλέα εἰς πόλεμον στρατευόμενον· δύο γὰρ ἔφοροι μετ' αὐτοῦ ἐπορεύοντο.

Τέττιξ καὶ μύρμηκες

Χειμῶνος ὥρᾳ τέττιξ ἀπορῶν πρὸς τοὺς μύρμηκας ἧκε καὶ ἠξίου αὐτοὺς τροφήν. Οἱ δὲ μύρμηκες ἀγανακτοῦντες ἐρωτῶσιν· «Διὰ τί θέρους οὐ συνῆγες τροφήν;» Ὁ δὲ τέττιξ· «Τότε ᾖδον μουσικῶς». Οἱ δὲ γελῶντες· «Ἀλλ' εἰ θέρους ηὔλεις, χειμῶνος ὀρχοῦ».

Οὕτω νεότης, πονεῖν οὐκ ἐθέλουσα, παρὰ τὸ γῆρας κακοπραγεῖ.

Περὶ τοῦ στεφάνου

Οἱ μὲν τὰ Ὀλύμπια νικῶντες ἐλαίᾳ ἐστεφανοῦντο, οἱ δὲ Ἴσθμια πίτυϊ, οἱ δὲ τὰ Πύθια δάφνῃ, οἱ δὲ τὰ Νέμεια ἐλαίᾳ. Πάντες δ' ἐζήλουν τοὺς ἐν τοῖς ἀγῶσι στεφανουμένους· τὸ μὲν γὰρ ὄνομα τοῦ νικῶντος καὶ τοῦ πατρὸς καὶ τῆς πατρίδος αὐτοῦ ὑπὸ κήρυκος ἀνηγορεύετο. Ἀπὸ δὲ τοῦ στάδιον νικῶντος ἡ Ὀλυμπιὰς ἐκαλεῖτο· ἐν δὲ τοῖς δείπνοις ποιηταὶ τὴν νίκην καὶ τὰς τοῦ στεφανουμένου ἀρετὰς ἐπῄνουν καὶ θέμις ἦν τῷ νικῶντι ἐν Ὀλυμπίᾳ ἀνδριάντα ἀνορθοῦν· οἴκοι δὲ οἱ νικῶντες μάλιστα ὑπὸ τῶν πολιτῶν ἐτιμῶντο.

1. Οἱ στωϊκοὶ τοὺς μὲν φιλοσόφους ὁμοιοῦσι τοῖς ἰατροῖς, τὴν δὲ φιλοσοφίαν τῇ ἰατρικῇ. 2. Ὧν τὴν δόξαν ζηλοῖς, τούτων μιμοῦ καὶ πράξεις. 3. Ζηλοῦτε τοὺς κρείττους, ἀλλὰ μὴ φθονεῖτε αὐτοῖς. 4. Παρὰ τοῖς Ἕλλησι θέμις ἦν δούλους μαστιγοῦν. 5. Ὁ τοῦ ἀνθρώπου τρόπος μάλιστα δηλοῖτο ἂν οὐκ ἐκ τῶν λόγων, ἀλλὰ ἐκ τῶν ἔργων. 6. Τίς οὐκ ἂν ἀξιοίη ἐν εἰρήνῃ βιοῦν; 7. Τυφλοῦται γὰρ περὶ φιλούμενον ὁ φιλῶν. 8. Οἱ Λακεδαιμόνιοι πρέσβεις τοὺς Ἀθηναίους ἠξίουν Θεμιστοκλέα ὡς προδότην ζημιοῦσθαι. 9. Ἡ Σαπφὼ μάλιστα τοῦ ῥόδου ἐρᾷ καὶ ἀεὶ στεφανοῖ αὐτὸ ἐγκωμίῳ, καλὴν παρθένον ἐκείνῳ ὁμοιοῦσα. 10. Ὀδυσσεὺς ῥόπαλον ἀποξύνει καὶ πυροῖ, σὺν ᾧ τὸν Κύκλωπα κοιμώμενον ἐκτυφλοῖ. 11. Ἆρα νοσεῖ; ἆρ' οὐ νοσεῖ; ἆρα μὴ νοσεῖ; 12. Ἠρώτων αὐτόν, τί ἐν νῷ ἔχοι. 13. Κροῖσος ἐνετέλλετο ἐπειρωτᾶν τὰ χρηστήρια, εἰ στρατεύηται ἐπὶ Πέρσας. 14. Δέομαι ὑμῶν τούτῳ τὸν νοῦν προσέχειν, εἰ δίκαια λέγω ἢ μή. 15. Ἡ μήτηρ ἠρώτα τὸν υἱόν, πότερον βούλοιτο ἐσθίειν ἢ οὔ. 16. Ἆγις

ὁ βασιλεὺς ἔλεγε τοὺς Λακεδαιμονίους μὴ ἐρωτᾶν, ὁπόσοι εἰσίν, ἀλλὰ ποῦ εἰσιν οἱ πολέμιοι. 17. Ὁ χρόνος πάντα δηλοῖ.

Упражнения. Проспрягать во всех формах презенсной системы глагол ἀξιόω. Определить части речи и их формы: στεφανοῖ (5), στέφανοι, στεφανῶν (2), στεφάνων, στεφανοῦσι (2), δούλοις, δουλοῖς (2), δουλῶ (2), δούλῳ, θανάτου (2).

Занятие 24

§ 116. Futurum I activi и medii

Признаком futurum I является суффикс σ, прибавляемый к презенсной основе. Окончания и соединительные гласные те же, что и в презенсной системе. Футуральные конъюнктив и императив отсутствуют. Будущее время страдательного залога по формам не совпадает с будущим медиального залога.

	Activum		Medium	
	Indicativus	Optativus	Indicativus	Optativus
S. 1.	λύ-σ-ω	λύ-σ-οι-μι	λύ-σ-ο-μαι	λυ-σοί-μην
2.	λύ-σ-εις	λύ-σ-οι-ς	λύ-σ-ῃ	λύ-σ-οι-ο
3.	λύ-σ-ει	λύ-σ-οι	λύ-σ-ε-ται	λύ-σ-οι-το
Pl. 1.	λύ-σ-ο-μεν	λύ-σ-οι-μεν	λυ-σ-ό-μεθα	λυ-σ-οί-μεθα
2.	λύ-σ-ε-τε	λύ-σ-οι-τε	λύ-σ-ε-σθε	λύ-σ-οι-σθε
3.	λύ-σ-ουσι(ν)	λύ-σ-οι-εν	λύ-σ-ο-νται	λύ-σ-οι-ντο
	Infinitivus	Participium	Infinitivus	Participium
	λύ-σ-ειν	λύ-σ-ων	λύ-σ-ε-σθαι	λυ-σ-ό-μενος
		λύ-σ-ουσα		λυ-σ-ο-μένη
		λῦ-σ-ον		λυ-σ-ό-μενον

В слитных глаголах последний краткий гласный звук основы перед сигмой удлиняется: α purum в α долгое, α impurum в η, ε в η, ο в ω:

θηράω *охотиться* – θηράσω, ἐάω *позволять* – ἐάσω,
νικάω *побеждать* – νικήσω, κοσμέω *украшать* – κοσμήσω,
δηλόω *обнаруживать* – δηλώσω.

У некоторых слитных глаголов удлинения конечной гласной основы не происходит, т. к. эта основа исторически оканчивалась не на гласный, а на сигму, например: γελάω *смеяться* – γελάσω, καλέω *звать* – καλέσω.

Перечень подобных глаголов см. в Грамматическом справочнике.

В глагольных основах, оканчивающихся на взрывные звуки, при соединении с сигмой происходят те же фонетические процессы, что в существительных и прилагательных III склонения при образовании сигматического номинатива (§§ 36, 37, 40).

Губные (β, π, φ) + σ = ψ :

ἀμείβω *менять* – ἀμείψω, βλέπω *смотреть* – βλέψω,

γράφω *писать* – γράψω.

Заднеязычные (γ, κ, χ) + σ = ξ :

λέγω *говорить* – λέξω, διώκω *преследовать* – διώξω,

ἄρχω *начинать* – ἄρξω.

Переднеязычные (δ, τ, θ) ассимилируются с σ, а группа σσ упрощается:

ψεύδω *лгать* – ψεύσω, πείθω *убеждать* – πείσω,

ἀνύτω *совершать* – ἀνύσω, γυμνάζω *упражнять* – γυμνάσω.

Сочетания νδ, ντ, νθ перед сигмой выпадают, вызывая заменительное растяжение корневого гласного звука:

σπένδω *возливать* – σπείσω.

О фонетических изменениях в основах на сонорные см. § 136.

§ 117. Futurum на εσ/σε

У глаголов с основами на сонорные (§ 136) будущее время образуется при помощи суффикса -εσ. При этом σ между гласными исчезает, а гласные сливаются (*φαν-εσ-ω>φαν-ε-ω >φανῶ). У глаголов на -ιζω, имеющих в основе более двух слогов, образуется так называемое аттическое будущее время (fut. atticum). В данном случае используется суффикс -σε. В результате группа согласных упрощается и в конечном итоге совсем исчезает, а гласные сливаются (*νομιδ-σε-ω>*νομισσέω >νομισέω>νομιέω>νομιῶ).

У некоторых глаголов образуется так называемое дорическое будущее, представляющее собой комбинацию сигматизма и слияния: φεύγω *бежать* – φευξοῦμαι (из φευγ-σέ-ομαι), πλέω *плыть* – πλευσοῦμαι, πνέω *дышать* – πνευσοῦμαι, πίπτω *падать* – πεσοῦμαι (§ 140). Появление дифтонга ευ в будущем времени объясняется тем, что исторически основа этих глаголов

оканчивалась на дигамму. С дорическим будущим сосуществует обыкновенное, сигматическое, например: φεύξομαι, πλεύσομαι, πνεύσομαι.

Ряд глаголов (в том числе вышеуказанные) вместо формы действительного залога имеет в будущем времени форму медиального залога.

§ 118. Значение futurum

Indicativus fut. соответствует русскому будущему времени несовершенного и совершенного видов: λύσω *я развяжу (освобожу), я буду развязывать (освобождать).*

Infinitivus fut. употребляется в зависимости от глаголов со значениями *надеяться, клясться, обещать, намереваться,* а также в инфинитивных оборотах. Например: ματαίως ἠλπίζοντο οἱ πολέμιοι καταλύσειν τὴν τοῦ δήμου ἀρχήν *напрасно надеялись враги сокрушить власть народа*; ὁ στρατηγὸς ἤλπιζε τὸ ἑαυτοῦ στράτευμα νικήσειν *стратег надеялся, что его войско победит.*

Optativus fut. употребляется в косвенном вопросе и в косвенной речи (§ 115).

Participium fut. (часто с частицей ὡς) обозначает цель при глаголах, выражающих движение, а также применяется в обороте accusativus cum participio. Например: ἥξω ὡς ἀπάξων ὑμᾶς εἰς Ἑλλάδα *я приду, чтобы отвести вас в Элладу.*

§ 119. Дополнительные предложения, зависящие от глаголов, выражающих заботу

В дополнительных предложениях, зависящих от глаголов, выражающих заботу и стремление, употребляется союз ὅπως (ὅπως μή) с indicativus futuri. Например: φρόντιζε, ὅπως μηδὲν αἰσχρὸν πράξεις *смотри, чтобы (старайся) не (с)делать ничего постыдного.*

Глагол заботы может как таковой отсутствовать и только подразумеваться, например: (ὅρα), ὅπως πάντα τἀληθῆ λέξεις *(смотри), чтобы сказать всю правду.*

Περὶ τῆς τοῦ Κροίσου παρασκευῆς

Κροῖσος, ὁ τῶν Λυδῶν τύραννος, τοῖς περὶ αὐτόν· «Κῦρος, — ἔφη, — ὁ τῶν Περσῶν δεσπότης, τῇ ἐμῇ ἀρχῇ ἐπιβουλεύει· διὸ ἐπ᾽ αὐτὸν

στρατευσόμεθα, εἰ ὁ θεὸς ὁ ἐν Δελφοῖς συμβουλεύσει στρατεύειν». Πέμπει δ' εἰς Δελφοὺς ἀγγέλους ὡς μαντευσομένους περὶ τῆς στρατείας. Κροῖσος μὲν ἐπυνθάνετο· «Ἆρα καταλύσω τὴν τῶν Περσῶν ἀρχήν;» Τὸ δὲ μαντεῖον ἦν· «Εἰ στρατεύσεις ἐπὶ τοὺς Πέρσας, μεγάλην ἀρχὴν καταλύσεις». Ἐνταῦθα ὁ Κροῖσος παρεσκευάζετο στρατεύεσθαι ἐπὶ τοὺς Πέρσας· ἤλπιζε γὰρ τὴν τοῦ Κύρου ἀρχὴν καταλύσειν.

Ἡρακλῆς ἀπορεῖται

Ἡρακλῆς, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο, ἐν ᾗ οἱ νέοι δηλοῦσιν, εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον, εἴτε τὴν διὰ κακίας, ἐν ἀπορίᾳ ἦν. Λογιζομένῳ δ' αὐτῷ προσέρχεταί τις γυνὴ καὶ λέγει τοιάδε· «Ὦ Ἡράκλεις, τί μέλλεις ποιήσειν; ποῖαν ὁδὸν ἐπὶ τὸν βίον τρέψῃ; Ἔγωγε τὴν ἡδίστην τε καὶ ῥᾴστην ὁδὸν ἄξω σε καὶ τῶν μὲν τερπνῶν πάντα σοι ὑπάρξει, τῶν δὲ χαλεπῶν πάντα ἀπό σου ἀπείρξω· πρῶτον μὲν γὰρ τῶν πολέμων καὶ πραγμάτων ἀμελήσεις, ἀλλὰ τούτου μόνον ἐπιμελήσῃ, ὅπως πλείσταις ταῖς ἡδοναῖς χρήσῃ. Εὐωχήσῃ, ἐὰν πεινῇς, τὰ ἥδιστα βρώματα, ἕλξεις ἀμυστί, ἐὰν διψῇς, τοὺς γλυκυτάτους οἴνους. Ἔγωγε καὶ ἐπιμελήσομαι, ὅπως ἥδιστα ἀναπαύσεις, καὶ παρασκευάσω, ὅπως πάντα ἀπονώτατα καρπώσεις. Οἱ ἐμοὶ φίλοι καλοῦσί με Εὐδαιμονίαν». Ἡρακλῆς δὲ τὴν τῶν πόνων ὁδὸν εἵλετο (*избрал для себя*).

1. Τίς ποτε τὰ ἄστρα ἀριθμήσει; 2. Νῦν μὲν ἀναγιγνώσκομεν, ὕστερον δὲ γράψομεν. 3. Ἀγαθοὶ πολῖται τὴν πόλιν μᾶλλον σώσουσιν, ἢ ἰσχυρὰ τείχη. 4. Τί πρὸς ταῦτα λέξεις; 5. Μιλτιάδης ἐν τῷ πρὸ τῆς ἐν Μαραθῶνι μάχης λόγῳ ἔλεγεν, ὅτι οἱ βάρβαροι πάντας τοὺς Ἀθηναίους εἰς τὴν Ἀσίαν ἀπάξοιεν. 6. Κῦρος ἔλεγε τάδε· «Ἐγὼ μὲν, ὦ ἄνδρες, ἤδη ὑμᾶς ἐπαινῶ, ὅπως δὲ καὶ ὑμεῖς ἐμὲ ἐπαινέσετε, ἐμοὶ μελήσει». 7. Μὴ ἔλπιζε τῷ χρόνῳ κακὸν ἔργον ἀποκρύψεσθαι. 8. Οἱ Ἀθηναῖοι θεοπρόπους ἔπεμπον εἰς Δελφοὺς μαντευσομένους. 9. Πλάτων ἧκεν εἰς Σικελίαν θεασόμενος τοὺς κρατῆρας τοὺς ἐν τῇ Αἴτνῃ. 10. Ξέρξης ἀναρίθμους στρατιώτας παρεσκευάζετο, ὡς δουλωσόμενος τὴν Εὐρώπην. 11. Τὸν ἐν τῇ μάχῃ θάνατον οὐδεὶς φευξεῖται τῇ φυγῇ. 12. Τὴν σεαυτοῦ πόλιν πλουτίζων σεαυτὸν πλουτίζεις. 13. Ὁ σοφὸς ἐπ' ἀτυχίᾳ ἄλλων ἀνθρώπων οὐ γελάσεται. 14. Οὗτοι οἱ ἔμποροι ναῦν κτήσονται, ἢ εἰς τὴν πατρίδα ἀποπλευσοῦνται. 15. Οἱ στρατιῶται ἔλεγον· «Ἐπὶ Ἴσσαν πλευσούμεθα τιμωρησόμενοι τοὺς πολεμίους.» 16. Ὁ στρατηγὸς ἔλεγεν, ὅτι σπείσοιτο σπονδὰς πρὸς τοὺς πολεμίους. 17. Πῶς σε πείσω;

18. Πλησίον ἤδη ἦν ὁ σταθμός, ἔνθα ἔμελλε καταλύσειν. 19. Λέξω καὶ οὐκ ἀποκρύψομαι.

Упражнения. Проспрягать во всех формах будущего времени действительного и медиального залогов глагол παιδεύω. Образовать форму 1-го л. ед. числа futuri indicativi activi от глаголов: δράω, τιμάω, ποιέω, στεφανόω, τρίβω, τρέπω, στρέφω, ἐλέγχω, πλέκω, ᾄδω, πέρθω, κομίζω, θαυμάζω.

Занятие 25

§ 120. Aoristus I activi и medii

Признак I-го, так называемого сигматического аориста действительного и медиального залогов – суффикс σα. В индикативе, поскольку аорист – историческое время, имеется приращение; в конъюнктиве – долгие соединительные гласные, в оптативе – суффикс αι. Следует обратить внимание на сходство трех форм (при различии в ударениях): активных оптатива и инфинитива и медиального императива (αι).

Activum

	Indicativus	Coniunctivus	Optativus	Imperativus
S. 1.	ἔ-λυ-σα	λύ-σ-ω	λύ-σ-αι-μι	
2.	ἔ-λυ-σα-ς	λύ-σ-ῃ-ς	λύ-σ-αι-ς (ειας)	λῦ-σ-ον
3.	ἔ-λυ-σε(ν)	λύ-σ-ῃ	λύ-σ-αι (ειε(ν))	λυ-σά-τω
Pl. 1.	ἐ-λύ-σα-μεν	λύ-σ-ω-μεν	λύ-σ-αι-μεν	
2.	ἐ-λύ-σα-τε	λύ-σ-η-τε	λύ-σ-αι-τε	λύ-σα-τε
3.	ἔ-λυ-σα-ν	λύ-σ-ω-σι(ν)	λύ-σ-αι-εν (ειαν)	λυ-σά-ντων (τωσαν)

Infinitivus λῦ-σαι Participium λύ-σα-ς, λύ-σα-σα, λῦ-σα-ν

Medium

	Indicativus	Coniunctivus	Optativus	Imperativus
S. 1.	ἐ-λυ-σά-μην	λύ-σ-ω-μαι	λυ-σ-αί-μην	
2.	ἐ-λύ-σω	λύ-σ-ῃ	λύ-σ-αι-ο	λῦ-σ-αι
3.	ἐ-λύ-σα-το	λύ-σ-η-ται	λύ-σ-αι-το	λυ-σά-σθω
Pl. 1.	ἐ-λυ-σά-μεθα	λυ-σ-ώ-μεθα	λυ-σ-αί-μεθα	
2.	ἐ-λύ-σα-σθε	λύ-σ-η-σθε	λύ-σ-αι-σθε	λύ-σα-σθε
3.	ἐ-λύ-σα-ντο	λύ-σ-ω-νται	λύ-σ-αι-ντο	λυ-σά-σθων (σθωσαν)

Infinitivus λύ-σα-σθαι Participium λυ-σά-μενος, -μένη, -μενον

При встрече с сигмой аористного суффикса конечные звуки глагольной основы претерпевают те же фонетические изменения, что и при образовании форм будущего времени (§ 116): θηράω – ἐθήρασα, ἐάω – εἴασα, νικάω – ἐνίκησα, κοσμέω – ἐκόσμησα, δηλόω – ἐδήλωσα, (γελάω – ἐγέλασα, καλέω – ἐκάλεσα), ἀμείβω – ἤμειψα, βλέπω – ἔβλεψα, γράφω – ἔγραψα, λέγω – ἔλεξα, διώκω – ἐδίωξα, ἄρχω – ἦρξα, ψεύδω – ἔψευσα, πείθω – ἔπεισα, ἀνύτω – ἤνυσα, γυμνάζω – ἐγύμνασα, σπένδω – ἔσπεισα.

О фонетических изменениях в основах на сонорные см. § 136.

§ 121. Значение аориста

Аористный индикатив соответствует русскому прошедшему времени совершенного вида: ἔλυσα *я развязал (освободил)*, ἐλυσάμην *я развязал (освободил) для себя*. Аорист обозначает начало действия (ἐνόσησα *я заболел*), конец действия (ἔπεισα *я убедил*) и все действие в обобщенном смысле; аорист в последнем значении при переводе трудно выразить совершенным видом, например: ἐβασίλευσε δέκα ἔτη *он царствовал* (досл.: *процарствовал*) *десять лет*.

Особенно необычно для представления о совершенном виде употребление аориста для выражения повторявшегося действия, например: πολλάκις ἐθαύμασα *я часто удивлялся* (досл.: *удивился*).

В пословицах (γνῶμαι) и изречениях употребляется так называемый гномический (пословичный) аорист; он выражает нечто ранее происшедшее, как то, что случается во все времена, например: οὐδεὶς ἐπλούτησε ταχέως δίκαιος ὢν *никто, будучи честен, быстро не разбогател* (= πλουτεῖ *не богатеет*).

Собственно временные функции имеет аористный индикатив (а также инфинитив в инфинитивных оборотах); остальные формы обозначают не прошедшее время, а совершенный вид, например: λύων *развязывающий*, λύσας *развязавший*; λῦε *развязывай*, λῦσον *развяжи*; λύειν *развязывать*, λῦσαι *развязать* и т. д.

§ 122. Предложения цели

Союзы целевых придаточных предложений следующие: ἵνα, ὅπως, ὡς *чтобы*, ἵνα μή, ὅπως μή, ὡς μή, μή *чтобы не*.

В этих предложениях, по правилу последовательности наклонений, в зависимости от главных времен употребляется конъюнктив, который в зависимости от исторических времен обычно переходит в оптатив. Презенсные формы выражают несовершенный вид, аористные – совершенный:

βασιλεὺς αἱρεῖται, οὐχ ἵνα ἑαυτοῦ καλῶς ἐπιμελῆται *царь избирается не для того, чтобы хорошо заботиться о себе самом*; αὖθις οἱ βάρβαροι ἐστρατεύσαντο, ὅπως τὴν Ἑλλάδα δουλώσειαν *снова варвары пошли походом, чтобы поработить Элладу*.

§ 123. *Infinitivus finalis*

Инфинитив при глаголах со значениями *отдавать, предоставлять, позволять, выбирать* и др. может выражать цель; в таком случае он переводится на русский язык выражениями с предлогами *для, не* или неопределенной формой глагола, например: ταύτην τὴν χώραν ἐπέτρεψε διαρπάσαι τοῖς Ἕλλησιν, ὡς πολεμίαν οὖσαν *эту страну он отдал на разграбление (= разграбить) грекам, т. к. она была враждебна*.

Цель может быть выражена также причастием будущего времени (§ 118).

Περὶ τῆς Ξέρξου σωτηρίας

Ξέρξης ἀπελαύνων τῆς Ἑλλάδος πλοῖον μετεπέμψατο τῶν Φοινίκων, ἵν᾽ οὗτοι αὐτὸν εἰς τὴν Ἀσίαν κομίσαιεν. Ἐπεὶ δ᾽ ἐν τῇ θαλάττῃ φοβερὸς χειμὼν Ξέρξην καὶ τοὺς ἀμφ᾽ αὐτὸν ἐφόβησεν, ὁ δεσπότης πρὸς τὸν κυβερνήτην· «Πῶς ἄν, – ἔφη, – εμὲ διασώσειας;» Ὁ δέ· «Ὦ δέσποτα, – ἔφη, – οὐκ ἄν σε διασώσαιμι, εἰ μὴ τοῖς πολλοῖς ἐπιβάταις κελεύσαις τοῦ πλοίου ἐκβαίνειν». Καὶ Ξέρξου κελεύσαντος οἱ Πέρσαι κατὰ τοῦ πλοίου ἐξεπήδησαν εἰς τὴν θάλατταν, ἵνα τὸν κύριον σώσειαν. Ἐπεὶ δὲ Ξέρξης σῶος ἧκεν εἰς τὴν Ἀσίαν, ἐποίησε τοιόνδε· ἐδωρήσατο μὲν χρυσῷ τὸν κυβερνήτην, ὅτι ἔσωσε τὴν τοῦ κυρίου ψυχήν, φονεῦσαι δ᾽ αὐτὸν ἐκέλευσεν, ὅτι τῶν ἐσθλῶν Περσῶν οὐκ ἐφείσατο.

Περὶ τῶν Περικλέους ἔργων

Περικλέους ἄρχοντος ἡ τῶν Ἀθηναίων πόλις πασῶν τῶν πόλεων τῶν τῆς Ἑλλάδος κάλλει ὑπερεῖχεν. Περικλῆς γὰρ πολλοὺς καὶ εὐκλεεῖς τεχνίτας μεταπεμψάμενος ἐκέλευσε τὴν ἀκρόπολιν

ἐπιφανέσιν ἱεροῖς τε καὶ ἔργοις κοσμῆσαι· πάντων δ' ἐπίσκοπος ἦν Φειδίας. Τὰ τῆς ἀκροπόλεως Προπύλαια λέγεται ἱδρῦσαι ἐν πέντε ἔτεσι Μνησικλῆς ὁ τέκτων. Ἐν δὲ μέσῃ τῇ ἀκροπόλει τὸ τῆς Ἀθηνᾶς ἱερὸν ἦν τὸ ὄνομα Παρθενών. Λαμπρόν ἐστι τὸ τοῦ Περικλέους κλέος, ὅτι τὴν τῶν Ἀθηναίων πολιτείαν εὐκλεᾶ ἐποίησεν. Ἡ δὲ τελευτὴ ἡ τοῦ ἐπιφανοῦς ἀνδρὸς ἦν φοβερά· λοιμῷ γὰρ ἐτελεύτησεν ἐν δευτέρῳ θέρει τοῦ Πελοποννησιακοῦ πολέμου.

1. Οἰδίπους λύσας τὸ τῆς Σφιγγὸς αἴνιγμα ἐβασίλευσεν ἐν ταῖς Θήβαις. 2. Κῦρος τοὺς Πέρσας ἐλευθερώσας καὶ τοὺς δεσπότας Μήδους ἐδουλώσατο καὶ τῆς ἄλλης Ἀσίας μέχρι τῆς Αἰγύπτου ἐκράτησεν. 3. Ζεὺς τὸν Ἑρμῆν ἔπεμψε πρὸς τὴν Καλυψὼ ἀποπέμψαι Ὀδυσσέα εἰς τὴν Ἰθάκῆν. 4. Οἱ Ἀθηναῖοι πέντε καὶ τετταράκοντα ἔτη τῶν Ἑλλήνων ἦρξαν. 5. Πρὸ τῆς μάχης οἱ Ἕλληνες Διΐ ἔσπεισαν. 6. Γέρων τις ἐρωτησάντων τινῶν, τίνι ἂν τὸ γῆρας ὁμοιοῖτο, ἔλεγεν· «Τῷ χειμῶνι». 7. Πρῶτον μὲν ἀκούσωμεν τοῦ ἀνδρός, ἔπειτα δὲ ἀκούσαντες βουλευσώμεθα. 8. Δαρεῖος πᾶσαν τὴν Ἀσίαν ὑφ' ἑαυτοῦ ποιησάμενος ἐβούλετο καὶ Εὐρώπην δουλοῦσθαι. 9. Μαρδόνιος ἔλεγε πρὸς Ξέρξην· «Ὦ βασιλεῦ, τὰς Ἀθήνας ἔχων ῥαδίως ἂν καταστρέψαιο τοὺς ἄλλους Ἕλληνας. 10. Ναῦς οἱ Κορίνθιοι πέντε καὶ εἴκοσιν ἐπλήρουν, ὅπως ναυμαχίας ἀποπειράσωσι πρὸς τὴν ἐν Ναυπάκτῳ φυλακήν.» 11. «Διὰ τοῦτο, – ἔφη Ζήνων ὁ φιλόσοφος, – δύο μὲν ὦτα ἔχομεν, στόμα δ' ἕν, ἵνα πλείω μὲν ἀκούωμεν, ἧττονα δὲ λέγωμεν». 12. Σωκράτης ἔλεγε τοὺς ἄλλους ἀνθρώπους ζῆν, ἵνα ἐσθίοιεν, αὐτὸς δὲ ἐσθίειν, ἵνα ζῴη. 13. Οἱ Ἀρεοπαγῖται ἐν νυκτὶ καὶ σκότῳ ἐδίκαζον, ἵνα μὴ εἰς τοὺς λέγοντας, ἀλλ' εἰς τοὺς λεγόντων λόγους ἀποβλέποιεν. 14. Οὐδεὶς ἔπαινον ἡδοναῖς ἐκτήσατο. 15. Καταλείπω ὑμᾶς φυλάττειν τὴν οἰκίαν. 16. Κῦρος φίλων ᾤετο δεῖσθαι, ὡς συνεργοὺς ἔχοι.

Упражнения. Проспрягать во всех формах аориста действительного и медиального залогов глагол παιδεύω. Определить аористные формы: ἀκούσαι, ἀκοῦσαι, ἄκουσαι. Образовать форму 1-го л. ед. ч. ind. aor. act. и medii от глаголов: στρατεύω, δράω, τιμάω, ποιέω, στεφανόω, τρίβω, τρέπω, ἐλέγχω, πλέκω, στρέφω, ᾄδω, πέρθω.

Занятие 26

§ 124. Глаголы первых трех классов

В зависимости от соотношения презенсной основы и общеглагольной основы, т. е. корня, глаголы условно делятся на восемь классов, из которых первые три принято называть «правильными».

I класс: глаголы, у которых презенсная основа совпадает с корнем; это главным образом глаголы с основами на гласные звуки (λύω, νικάω, κοσμέω, δηλόω и т. п.), но есть и глаголы с основами на согласные (ἄρχω, γράφω, ψεύδω и др.).

II класс: глаголы с корнями, оканчивающимися на губные звуки (β, π, φ); презенсная основа у них образуется путем прибавления йоты, в результате чего образуется сочетание πτ: βλάπτω *вредить*, корень βλαβ, fut. βλάψω, aor. ἔβλαψα.

III класс: глаголы с корнями, оканчивающимися на переднеязычные, заднеязычные и сонорные звуки; презенсная основа у них исторически получилась путем прибавления йоты, согласного звука, который исчез в греческом языке, но оставил некоторые следы. Этот звук, как было сказано (§§ 66, 70), участвовал в образовании степеней сравнения прилагательных:

а) переднеязычные (δ, τ, θ) + j = ζ: γυμνάζω (корень γυμναδ) *упражнять* (из γυμνάδ-j-ω), fut. γυμνάσω, aor. ἐγύμνασα. Однако в некоторых глаголах на ίζω корень оканчивается на заднеязычный: σαλπίζω (корень σαλπιγγ) *трубить*, fut. σαλπίγξω, aor. ἐσάλπιγξα;

б) заднеязычные (γ, κ, χ) + j = ττ(σσ): πράττω (πράσσω) *делать* (из πράγ-j-ω), корень πραγ, fut. πράξω, aor. ἔπραξα. Но в некоторых глаголах на ττω (σσω) корень оканчивается на переднеязычный: πλάττω (корень πλατ) *лепить*, fut. πλάσω, aor. ἔπλασα;

в) сонорные (λ, ν, ρ) – см. § 136.

§ 125. Спряжение глагола εἰμί быть

В презенсной системе у этого глагола отсутствуют соединительные гласные, и личные окончания присоединяются непосредственно к глагольной основе. Это явление называется

атематизмом. В ряде форм присутствуют архаические личные окончания. Эти окончания, равно как и атематизм, присущи целой группе глаголов, которые составляют так называемое II спряжение, или спряжение на μι (§ 144, 147). Многие первоначальные формы глагола εἰμί сохранились в языке гомеровых поэм (см. Приложение).

Все формы презенсного индикатива, кроме формы 2-го л. ед. ч., являются энклитиками. Формы будущего времени образуются как у обычных глаголов.

	Indicativus Praesens	Indicativus Imperfectum	Coniunctivus	Optativus	Imperativus
S. 1.	εἰμί	ἦν	ὦ	εἴην	ἴσθι
2.	εἶ	ἦσθα	ᾖς	εἴης	ἔστω
3.	ἐστί(ν)	ἦν	ᾖ	εἴη	ἔστε
Pl. 1.	ἐσμέν	ἦμεν	ὦμεν	εἶμεν, εἴημεν	ἔστων
2.	ἐστέ	ἦτε	ἦτε	εἶτε, εἴητε	
3.	εἰσί(ν)	ἦσαν	ὦσι(ν)	εἶεν, εἴησαν	

Infinitivus εἶναι　　Participium ὤν, οὖσα, ὄν (ὄντος)

Futurum

	Indicativus S.	Indicativus Pl.	Optativus	Infinitivus
1.	ἔσομαι	ἐσόμεθα	S. ἐσοίμην	ἔσεσθαι
2.	ἔσῃ, ἔσει	ἔσεσθε	ἔσοιο	Participium
3.	ἔσται	ἔσονται	и т.д.	ἐσόμενος, -η, -ον

Общеиндоевропейская основа ἐσ в чистом виде присутствует в отдельных формах индикатива и императива, в остальных формах σ выпадает, вызывая определенные фонетические изменения, например: imperf. ἦν в результате удлинения ε(σ); imperat. ἴσθι из ἔσθι путем уподобления эпсилона основы йоте окончания.

Данные сведения историко-лингвистического характера приведены, естественно, не для запоминания, а для уяснения причин, приведших к образованию столь необычных форм; сами же формы, именно в силу их отклонения от привычных моделей, требуют особенно тщательного заучивания наизусть.

Вместо энклитического ἐστί употребляется ἔστι в значении *существует, возможно* (чаще ἔξεστι), а также в положении после отрицательных частиц, союзов καί, εἰ, ὡς, ἀλλά, местоимения τοῦτο. В глаголах, сложных с εἰμί, ударение в презенсных индикативе и императиве находится на приставке, например: ἄπειμι *отсутствую*, но ἀπεῖναι.

§ 126. Косвенная речь

Поскольку косвенная речь – это дополнение, зависящее от глаголов со значением *говорить*, то управляющее предложение выражается в ней инфинитивными оборотами или придаточным дополнительным предложением с союзами ὅτι, ὡς *что, чтобы* (ср. §§ 38, 113): ἀγγέλλει τις τοὺς πολεμίους προσέρχεσθαι = ἀγγέλλει τις, ὅτι (ὡς) οἱ πολέμιοι προσέρχονται *кто-то сообщает, что (будто) неприятели приближаются*. Таким способом передается как утверждение (выраженное в прямой речи индикативом), так и пожелание или приказание (выраженное в прямой речи императивом, конъюнктивом, оптативом); отрицание в последнем случае μή: Κῦρος Κλεάρχῳ ἐβόα ἄγειν τὸ στράτευμα κατὰ μέσον τὸ τῶν πολεμίων *Кир кричал Клеарху, чтобы тот вел войско в середину врагов* (в прямой речи было бы: ἄγε *веди!*). Те предложения, которые в прямой речи были зависимыми, при переходе в косвенную речь удерживают прежнее наклонение, однако после исторического времени индикатив может заменяться оптативом: Κῦρος Κλεάρχῳ ἐβόα ἄγειν τὸ στράτευμα κατὰ μέσον τὸ τῶν πολεμίων, ὅτι βασιλεὺς ἐκεῖ εἴη *Кир кричал Клеарху, чтобы тот вел войско в середину врагов, так как там находится царь* (в прямой речи было бы: ἐκεῖ ἐστιν).

Περὶ Ἰάσονος

Ἰάσων πλοῖον παρασκευασάμενος ὥρμησεν, ἵνα τὸ χρυσόμαλλον δέρμα κομίσῃ ἐκ τῆς Κολχίδος. Ἐλέγετο δὲ φυλάττεσθαι τὸ δέρμα ὑπὸ φοβεροῦ δράκοντος. Ἐπεὶ δ᾽ Ἰάσων σὺν τοῖς ἑταίροις ἧκε πρὸς Αἰήτην, τὸν τῆς Κολχίδος ἄρχοντα, ᾔτησε τὸ δέρμα. Ὁ δὲ τοὺς χαλκόποδας ταύρους, οἳ αὐτῷ ἦσαν, ὑπὸ ζυγὸν ἄγειν τῷ Ἰάσονι ἐπέταξε καὶ δράκοντος ὀδόντας σπείρειν. Ἐπεὶ οὖν Ἰάσων ἐν πολλῇ ἀπορίᾳ ἦν, Μήδεια, ἡ τοῦ Αἰήτου παῖς, ἐβοήθησεν αὐτῷ· ἐπιστήμων

γὰρ φαρμάκων ἦν. Ἐκόμισε δὲ τῷ Ἰάσονι φάρμακόν τι καί· «Τῷδε τῷ φαρμάκῳ, – ἔφη, – χρῖσον τὴν ἀσπίδα καὶ τὸ σῶμά σου. Ἐὰν γὰρ τοῦτο πράξῃς, οὔτε πῦρ οὔτε σίδηρος βλάψει τὸ σῶμα». Ἐπεὶ δ' Ἰάσων τοὺς τοῦ δράκοντος ὀδόντας ἔσπειρεν, ἐκ τῶν ὀδόντων ἀνεφύοντο δεινοὶ γίγαντες. Τούτων δ' Ἰάσονι ἐπιφερομένων Μήδεια· «Ῥῖψον, – ἔφη, – λίθους εἰς ἐκείνους τοὺς γίγαντας». Ὁ δὲ, ἐπεὶ ἔρριψε λίθους, φοβερὰν ἔριν ἐποίησε τοῖς γίγασι καὶ τοὺς ἀλλήλοις μαχομένους ῥαδίως ἐφόνευσεν.

Περὶ τῆς Ῥοδώπιδος

Ὅτε Ψαμμήτιχος ἐβασίλευσεν ἐν τῇ Αἰγύπτῳ, παρθένος ἦν Ῥοδῶπις τὸ ὄνομα, ἡ τῶν ἄλλων γυναικῶν τῇ χάριτι διέφερεν. Λουομένης δέ ποτε αὐτῆς ἀετός τις τὸ ἕτερον τῶν ὑποδημάτων ἥρπασεν. Καὶ ἐκόμισεν εἰς Μέμφιν, οὗ Ψαμμήτιχος ἄρτι ἐδίκαζεν, καὶ εἰς κόλπον αὐτοῦ ἔρριψε τὸ ὑπόδημα. Ὁ δ' ἐθαύμασε τοῦ ὑποδήματος τὸ καλὸν σχῆμα καὶ τὸ τοῦ ὄρνιθος πρᾶγμα. Αὐτίκα δ' ἐκήρυξεν ἀνὰ ὅλην τὴν χώραν ζητῆσαι τὴν παρθένον, ἧς τὸ ὑπόδημα ἦν. Ἐπεὶ δὲ Ῥοδῶπις προσήγετο, ὁ δεσπότης τὴν χάριν αὐτῆς οὕτως ἐθαύμασεν, ὥστε ἐβουλεύσατο αὐτὴν ἄγεσθαι γυναῖκα.

1. Ἀλέξανδρος νικήσας τοὺς Πέρσας ἐν Γρανίκῳ ἐκέλευσε θάψαι τοὺς τελευτήσαντας. 2. Λυδοὶ πρῶτοι νόμισμα χρυσοῦ καὶ ἀργυρίου ἐκόψαντο. 3. Τὴν Ἀττικὴν καὶ Εὔβοιαν καὶ Σαλαμῖνα νῆες ἐφύλαξαν ἑκατόν. 4. Πολλοὺς κακῶς πράξαντας ὤρθωσεν τύχη. 5. Ῥίψας λόγον τις οὐκ ἀναιρεῖται πάλιν. 6. Γύμναζε παῖδας· οὐ γὰρ ἄνδρα γυμνάσεις. 7. Ὁ Διογένης· οἱ μὲν ἄλλοι κύνες, – ἔφη, – τοὺς ἐχθροὺς δάκνουσιν, ἐγὼ δὲ τοὺς φίλους, ἵνα σώσω. 8. Προμηθεὺς ἐξ ὕδατος καὶ γῆς ἀνθρώπους πλάσαι λέγεται. 9. Φειδίας ἔπλασε τὸν τῆς Ἀθηνᾶς ἀνδριάντα ἐκ χρυσοῦ καὶ ἐλέφαντος. 10. Μὴ λέγε, τίς ἦσθα πρότερον, ἀλλὰ νῦν τίς εἶ. 11. Εἰ μὴ καθέξεις γλῶσσαν, ἔσται σοι κακά. 12. Οὐκ ἐσθ' ὑγιείας κρεῖττον οὐδὲν ἐν βίῳ. 13. Οὐκ ἔστι σοφίας κτῆμα τιμιώτερον. 14. Βάδιζε τὴν εὐθεῖαν, ἵνα δίκαιος ᾖς. 15. Βίας παρούσης οὐδὲν ἰσχύει νόμος. 16. Κῦρος διὰ τὸ φιλομαθὴς εἶναι πολλὰ τοὺς παρόντας ἀνηρώτα. 17. Οὐκ ἐξῆν ἐν Σπάρτῃ τοῖς δειλοῖς τῆς συσσιτίας μετεῖναι. 18. Μή μοι ἀνὴρ εἴη γλώττῃ φίλος, ἀλλὰ καὶ ἔργῳ. 19. Ἄνθρωπος ὢν γίγνωσκε τῆς ὀργῆς κρατεῖν. 20. Ξένους ξένιζε καὶ σὺ γὰρ ξένος γ' ἔσῃ. 21. Φιλόπονος ἴσθι καὶ βίον κτήσῃ καλόν. 22. Οἱ Ἕλληνες ἐβόων ἀλλήλοις μὴ θεῖν δρόμῳ, ἀλλ' ἐν τάξει ἕπεσθαι.

23. Ἔλεγον πολλοὶ κατὰ ταῦτα, ὅτι παντὸς ἄξια λέγοι Σεύθης· χειμὼν γὰρ εἴη καὶ οὔτε οἴκαδε ἀποπλεῖν τῷ βουλομένῳ δυνατὸν εἴη.

Упражнения. Проспрягать во всех формах глагол πάρειμι. Образовать формы 1-го л. ед. ч. будущего времени и аориста действительного и медиального залогов от глаголов: καλύπτω, κόπτω, τάττω, φυλάττω, θαυμάζω, ἐλπίζω, σχίζω.

Занятие 27

§ 127. Перфектная основа

Перфектная основа получается путем удвоения начального согласного звука корня, причем соединительным гласным служит ε.

λύω (λυ) развязывать – λε-λυ-; в слитных глаголах при образовании перфективных форм конечный гласный основы удлиняется: νικάω (νικα) побеждать – νε-νικη-, κοσμέω (κοσμε) украшать – κε-κοσμη-, δηλόω (δηλο) обнаруживать – δε-δηλω-.

Начальный гласный корня не удваивается, а удлиняется, причем дифтонгиальная йота всегда подписная: ἐλευθερόω (ἐλευθερο) *освобождать* – ἠλευθερω-, αἰτέω (αἰτε) *просить* – ᾐτη-, οἰκίζω (οἰκιδ) *населять* – ᾠκιδ-.

Начальный ρ корня удваивается без соединительной гласной; кроме того, происходит приращение: ῥίπτω (ῥιπ) *бросать* – ἐ-ρ-ριπ-.

Если корень начинается с группы согласных или с двойного согласного, то вместо удвоения происходит приращение:

στρατεύω (στρατευ) *идти походом* – ἐ-στρατευ-,

ξενίζω (ξενιδ) *оказывать гостеприимство* – ἐ-ξενιδ-,

ψεύδω (ψευδ) *лгать* – ἐ-ψευδ-,

ζητέω (ζητε) *искать* – ἐ-ζητη-,

но удвоение все же происходит, если в начале корня находится сочетание взрывного звука с сонорным (muta cum liquida): γράφω (γραφ) *писать* – γε-γραφ-.

В некоторых глаголах начальный гласный в удлиненном виде вместе со следующим согласным звуком повторяется; это так называемое аттическое удвоение: ἀκούω (ἀκου) *слышать* – ἀκ-ηκο-, ὀρύττω (ὀρυχ) *рыть* – ὀρ-ωρυχ-. Список подобных глаголов см. в Грамматическом справочнике.

§ 128. Perfectum и plusquamperfectum activi

Существует два типа образования активного перфекта.

1. Так называемый п е р в ы й перфект образуется у глаголов с корнями на гласные и переднеязычные (а также сонорные, см. § 136) звуки. К перфектной основе присоединяется суффикс -κ- и соответствующие окончания, причем окончания перфекта индикатива (кроме формы 3-го л. мн. числа) совпадают с окончаниями сигматического аориста.

В плюсквамперфекте помимо удвоения присутствует приращение. Формы конъюнктива и оптатива образуются двояко: или при помощи суффиксов и окончаний (синтетический способ) или присоединением к перфектному причастию конъюнктивных и оптативных форм вспомогательного глагола εἰμί (аналитический способ).

	Indicativus		Coniunctivus	
	Perfectum	Plusquamperfectum		
S. 1.	λέ-λυ-κα	ἐ-λε-λύ-κειν	λε-λύ-κ-ω	λελυκὼς ὦ
2.	λέ-λυ-κα-ς	ἐ-λε-λύ-κεις	λε-λύ-κ-ῃς	λελυκὼς ᾖς
3.	λέ-λυ-κε(ν)	ἐ-λε-λύ-κει	λε-λύ-κ-ῃ	λελυκὼς ᾖ
Pl. 1.	λε-λύ-κα-μεν	ἐ-λε-λύ-κε-μεν	λε-λύ-κ-ω-μεν	λελυκότες ὦμεν
2.	λε-λύ-κα-τε	ἐ-λε-λύ-κε-τε	λε-λύ-κ-ητε	λελυκότες ἦτε
3.	λε-λύ-κα-σι(ν)	ἐ-λε-λύ-κε-σαν	λε-λύ-κ-ωσι(ν)	λελυκότες ὦσι(ν)

	Optativus		Imperativus	Infinitivus
S. 1.	λε-λύ-κ-οι-μι	λελυκὼς εἴην		λε-λυ-κ-έναι
2.	λε-λύ-κ-οι-ς	λελυκὼς εἴης	λέ-λυ-κ-ε	
3.	λε-λύ-κ-οι	λελυκὼς εἴη	λε-λυ-κ-έτω	Participium
Pl. 1.	λε-λύ-κ-οι-μεν	λελυκότες εἶμεν		λε-λυ-κ-ώς, τος
2.	λε-λύ-κ-οι-τε	λελυκότες εἶτε	λε-λύ-κ-ετε	λε-λυ-κ-υῖα, ας
3.	λε-λύ-κ-οι-εν	λελυκότες εἶεν	λε-λυ-κ-όντων	λε-λυ-κ-ός, τος

Перфектные формы слитных глаголов: ἐάω – εἴακα, θηράω – τεθήρακα, νικάω – νενίκηκα, κοσμέω – κεκόσμηκα, δηλόω – δεδήλωκα.

Последний переднеязычный корня перед κ выпадает: ψεύδω (ψευδ) *лгать* – ἔψευκα, νομίζω (νομιδ) *полагать* – νενόμικα.

2. Так называемый **второй** перфект образуется у глаголов с корнями на губные и заднеязычные звуки. Эти звуки в перфекте или остаются без изменения (главным образом в корнях с долгими гласными и дифтонгами), или бывают только в придыхательном варианте.

Суффикс κ отсутствует, система окончаний та же, что и в первом перфекте. Например:

γράφω	(γραφ)	*писать*	— γέγραφα
τρίβω	(τριβ)	*тереть*	— τέτριφα
βλάπτω	(βλαβ)	*вредить*	— βέβλαφα
θάπτω	(θαφ)	*хоронить*	— τέταφα (диссимиляция: по придыхательности)
διώκω	(διωκ)	*преследовать*	— δεδίωχα
ἄγω	(ἀγ)	*вести*	— ἦχα
πράττω	(πραγ)	*делать*	— πέπραγα, πέπραχα
φυλάττω	(φυλακ)	*сторожить*	— πεφύλακα
φεύγω	(φευγ)	*бежать*	— πέφευγα
κλάζω	(κλαγγ)	*звучать*	— κέκλαγκα

Наблюдается чередование гласных в основах: ε-ο, ει-οι:

λείπω	(λειπ, λοιπ)	*оставлять*	λέλοιπα
στρέφω	(στρεφ,στροφ)	*вращать*	ἔστροφα

У отдельных глаголов наряду с I перфектом бывает перфект II: πείθω (πειθ, ποιθ) *убеждать* – πέπεικα, πέποιθα.

§ 129. Значение перфекта и плюсквамперфекта

Перфект обозначает совершившееся действие, результат которого продолжается как состояние в настоящее время; поэтому перфект считается главным временем и часто может по смыслу переводиться на русский язык настоящим временем: πέφευγα κίνδυνον *я избежал опасности = я (теперь) нахожусь вне опасности.*

Плюсквамперфект обозначает совершившееся ранее действие, результат которого продолжался как состояние в прошлом, и считается историческим временем: ἐπεφεύγειν κίνδυνον *я (уже ранее) избежал опасности = я (уже) находился вне опасности.*

Δημοσθένους λόγος ἐπιτάφιος μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην

Ὁ Νεῖλος ποταμὸς ἐκ Αἰθιοπίας ῥέων ἐξίησιν εἰς τὴν θάλατταν δυοῖν στομάτοιν (dualis), τὸ δὲ πάλαι ἑπτὰ στόμασιν ἐξίει· ἄλλοι δὲ ποταμοὶ διὰ τῆς Αἰγύπτου οὐ ῥέουσιν. Κατ᾽ ἔτος οὖν ὁ Νεῖλος ὕδωρ ἐπὶ γῆν ἱεὶς καὶ πηλὸν καταλείπων τοὺς ἀγροὺς παμφορωτάτους τίθησιν· λέγουσι δὲ καὶ τὸ ὕδωρ, ὃ τὰ φρέατα τὰ ἐν τῇ Αἰγύπτῳ καὶ τὰ ἐν τῇ Λιβυκῇ ἐρήμῳ ἀνίησιν, ἐκ τοῦ Νείλου ποταμοῦ ῥεῖν· ὅπου δ᾽ ἂν πηγαὶ ὕδωρ ἀνιῶσιν, ἡ γῆ πολλὰ δένδρα καὶ καρποὺς φέρει.

Λυκοῦργος νόμον περὶ βασιλέων τίθησιν

Λυκοῦργος ἔταξε θύειν βασιλέα ὑπὲρ τῆς πόλεως καὶ ἡγεῖσθαι τῆς στρατιᾶς. Οἱ δὲ βασιλεῖς ἐλάμβανον καὶ γέρα ἀπὸ τῶν θυομένων καὶ γῆν ἐν πολλαῖς τῶν περιοίκων πόλεων· ἐπὶ δὲ δείπνῳ δυοῖν μέροιν ἐτιμῶντο, ἵνα διαδιδοῖεν ἄλλοις, οὓς βούλοιντο τιμᾶν. Πάντες δ᾽ ὑπανίσταντο βασιλεῖ, οἱ δ᾽ ἔφοροι οὔ· καὶ ὅρκους ἀλλήλοις ἐδίδοσαν ἔφοροί τε καὶ βασιλεῖς, ὁ μὲν βασιλεὺς κατὰ τοὺς τῆς πόλεως νόμους βασιλεύσειν, οἱ δ᾽ ἔφοροι τὴν βασιλείαν φυλάξειν. Αὗται μὲν τιμαὶ ζῶντι βασιλεῖ ἐδίδοντο, τελευτήσαντα δὲ ὡς ἥρωα ἐτίμων.

1. Ἤδη Ἀναξαγόρας ὁ φιλόσοφος ἐδίδασκε τὸν ἥλιον τῇ σελήνῃ ἐντιθέναι τὸ φῶς. 2. Οἱ νόμοι τοιοῦτοί εἰσιν, οἷοι οἱ τιθέντες. 3. Πολλοὶ τῶν ἀνθρώπων μέτρον εὐδαιμονίας τὰς τῆς γαστρὸς ἡδονὰς τίθενται. 4. Ἐκοσμήθη ἡ Ὀλυμπία ἐκ τοῦ πλήθους ἀναθημάτων, ἅπερ ἐκ πάσης ἐνετίθεντο τῆς Ἑλλάδος. 5. Οἱ παλαιοὶ τοῖς νεκροῖς ὀβολὸν εἰς τὸ στόμα κατετίθεσαν, ἵνα διδοῖεν Χάρωνι. 6. Ἡ μωρία δίδωσι ἀνθρώποις κακά. 7. Δὶς δίδως, ἐὰν ταχέως διδῷς. 8. Δίκην διδοίη ὁ τὴν πατρίδα προδιδούς. 9. Ἀργύρου οὐκ ἦν ποτε οὔτε χρυσοῦ νόμισμα, ἀλλὰ οἱ ἄνθρωποι ἀντεδίδοσαν βοῦς καὶ ἀνδράποδα καὶ ἀγρὸν καὶ ἄργυρον καὶ χρυσόν. 10. Ἡρακλῆς λέγεται φυτεῦσαι Ὀλυμπίασιν ἐλαίαν, ἀφ᾽ ἧς οἱ στέφανοι τοῖς νικήσασιν ἐδίδοντο. 11. Οὐ πάντες ἐξιᾶσιν εἰς πόντον ῥόοι. 12. Ἐν τῇ Κορίνθου ἀγορᾷ ᾠκοδόμηται κρήνη καὶ Ποσειδῶν ἐπ᾽ αὐτῇ χαλκοῦς καὶ δελφὶς ὑπὸ τοῖς ποσίν ἐστι τοῦ Ποσειδῶνος, ἀφιεὶς ὕδωρ. 13. Καταλυθέντος τοῦ Πελοποννησιακοῦ πολέμου ὀλιγαρχίαι ἐν ταῖς πλείσταις τῆς Ἑλλάδος πόλεσι καθίσταντο. 14. Καθιστάσθω ἕκαστος εἰς τὴν ἑαυτοῦ τάξιν. 15. Θησεὺς τὸν δῆμον κύριον τῆς πολιτείας καθίστησιν. 16. Δημόκριτος ὑποτίθεται τάς τε ἀτόμους καὶ τὸ κενόν· αὐται δὲ δίνῃ φερόμεναι συνίστανται καὶ διΐστανται. 17. Λύσανδρος ὑπὸ τῶν Ἑλλήνων ἐμισεῖτο, ὅτι πασῶν τῶν πόλεων, ὧντινων κρατήσαι, ἁρμοστὰς προίστη καταλύσας τὰς δημοκρατίας. 18. Πυθαγόρας εἶπεν, ὅτι ἡ ψυχὴ μεθισταῖτο εἰς ἄλλα σώματα. 19. Ὅσῳ μᾶλλον ὁ Κλέων ὑπέφευγε τὸν πλοῦν, τόσῳ (μᾶλλον) ἐπεκελεύεντο τῷ Νικίᾳ παραδιδόναι τὴν ἀρχήν. 20. Οἱ Ἀθηναῖοι, ὡς συγγραφεῖς λέγουσιν, μετὰ τὴν ἐν Μαραθῶνι μάχην πολλὰ πλοῖα παρεσκευάζοντο.

Упражнения. Определить глагольные формы, восстановить приставки в неассимилированном виде: ἀνετίθει, παρατίθετε (2), προδίδου, προεδίδου, προδιδούς, καθίεσθε (3), ἐφίεντο, ὑφίει (2), ἀφιέντων (2), μεθίσταμεν (2), διίστη (2), περιιστάναι, ἀνθισταῖτο.

Занятие 34

§ 147. Aoristus activi и medii глаголов на -μι I группы

Activum

Indicativus

S. 1.	ἔ-θη-κα	ἧ-κα	ἔ-δω-κα	ἔ-στη-ν	ἔ-στη-σα
2.	ἔ-θη-κας	ἧ-κα-ς	ἔ-δω-κα-ς	ἔ-στη-ς	ἔ-στη-σα-ς
3.	ἔ-θη-κε(ν)	ἧ-κε(ν)	ἔ-δω-κε(ν)	ἔ-στη	ἔ-στη-σε(ν)
Pl.1.	ἔ-θε-μεν	εἷ-μεν	ἔ-δο-μεν	ἔ-στη-μεν	ἐ-στή-σα-μεν
2.	ἔ-θε-τε	εἷ-τε	ἔ-δο-τε	ἔ-στη-τε	ἐ-στή-σα-τε
3.	ἔ-θε-σαν	εἷ-σαν	ἔ-δο-σαν	ἔ-στη-σαν	ἔ-στη-σα-ν

Coniunctivus

S. 1.	θῶ	ὧ	δῶ	στῶ	στή-σ-ω
2.	θῇς	ᾗ-ς	δῷ-ς	στῇ-ς	στή-σ-ῃ-ς
3.	θῇ	ᾗ	δῷ	στῇ	στή-σ-ῃ
Pl.1.	θῶ-μεν	ὧ-μεν	δῶ-μεν	στῶ-μεν	στή-σ-ω-μεν
2.	θῆ-τε	ἧ-τε	δῶ-τε	στῆ-τε	στή-σ-η-τε
3.	θῶ-σι(ν)	ὧ-σι(ν)	δῶ-σι(ν)	στῶ-σι(ν)	στή-σ-ω-σι(ν)

Optativus

S. 1.	θε-ίη-ν	ε-ἵη-ν	δο-ίη-ν	στα-ίη-ν	στή-σ-αι-μι
2.	θε-ίη-ς	ε-ἵη-ς	δο-ίη-ς	στα-ίη-ς	στή-σ-αι-ς
3.	θε-ίη	ε-ἵη	δο-ίη	στα-ίη	στή-σ-αι
Pl.1.	θε-ῖ-μεν	ε-ἷ-μεν	δο-ῖ-μεν	στα-ῖ-μεν	στή-σ-αι-μεν
2.	θε-ῖ-τε	ε-ἷ-τε	δο-ῖ-τε	στα-ῖ-τε	στή-σ-αι-τε
3.	θε-ῖ-εν	ε-ἷ-εν	δο-ῖ-εν	στα-ῖ-εν	στή-σ-αι-εν

Imperativus

S. 2.	θέ-ς	ἕ-ς	δό-ς	στῆ-θι	στῆ-σ-ον
3.	θέ-τω	ἕ-τω	δό-τω	στή-τω	στη-σά-τω
Pl.2.	θέ-τε	ἕ-τε	δό-τε	στῆ-τε	στή-σα-τε
3.	θέ-ντων	ἕ-ντων	δό-ντων	στά-ντων	στη-σά-ντων

Infinitivus

θεῖ-ναι	εἷ-ναι	δοῦ-ναι	στῆ-ναι	στῆ-σαι

Participium

θείς	εἵς	δούς	στάς	στή-σα-ς
θεῖσα	εἷσα	δοῦσα	στᾶσα	στή-σα-σα
θέν	ἕν	δόν	στάν	στῆ-σα-ν
(θέντος)	(ἕντος)	(δόντος)	(στάντος)	(στή-σα-ντος)

В глаголах τίθημι, ἵημι, δίδωμι в ед. ч. индикатива к сильной основе присоединяется суффикс -κ и окончания сигматического аориста; во мн. числе индикатива, а также в императиве, инфинитиве и причастии окончания присоединяются непосредственно к слабой основе. В глаголе ἵημι во мн. ч. индикатива εἵμην получилось из ἐ-έ-μην. В конъюнктиве – обычные η и ω, в оптативе – ι/ιη, и во мн. числе оптатива бывает суффикс ιη, например: θείημεν, θείητε, θείησαν. Инфинитив образуется при помощи окончания -έναι. В императиве при наличии приставки ударение падает именно на нее, например: συντίθημι *складывать* – σύνθες, ἀποδίδωμι *отдавать* – ἀπόδος. Глагол ἵστημι имеет две формы активного аориста: корневую (атематическую) форму с непереходным значением ἔστην *я стал* (ср. ἔβην § 142) и сигматическую форму с переходным значением ἔστησα *я поставил*.

Medium

Indicativus

S. 1.	ἐ-θέ-μην	εἵ-μην	ἐ-δό-μην	ἐ-στη-σά-μην
2.	ἔ-θου	εἷ-σο	ἔ-δου	ἐ-στή-σω
3.	ἔ-θε-το	εἷ-το	ἔ-δο-το	ἐ-στή-σα-το
Pl.1.	ἐ-θέ-μεθα	εἵ-μεθα	ἐ-δό-μεθα	ἐ-στη-σά-μεθα
2.	ἔ-θε-σθε	εἷ-σθε	ἔ-δο-σθε	ἐ-στή-σα-σθε
3.	ἔ-θε-ντο	εἷ-ντο	ἔ-δο-ντο	ἐ-στή-σα-ντο

Coniunctivus

S. 1.	θῶ-μαι	ὧ-μαι	δῶ-μαι	στή-σ-ω-μαι
2.	θῇ	ᾗ	δῷ	στή-σ-ῃ
3.	θῆ-ται	ἧ-ται	δῶ-ται	στή-σ-η-ται
Pl.1.	θώ-μεθα	ὥ-μεθα	δώ-μεθα	στη-σ-ώ-μεθα
2.	θῆ-σθε	ἧ-σθε	δῶ-σθε	στή-σ-η-σθε
3.	θῶ-νται	ὧ-νται	δῶ-νται	στή-σ-ω-νται

Optativus

S. 1.	θε-ί-μην	ε-ἵ-μην	δο-ί-μην	στη-σ-αί-μην
2.	θε-ῖ-ο	ε-ἷ-ο	δο-ῖ-ο	στή-σ-αι-ο
3.	θε-ῖ-το	ε-ἷ-το	δο-ῖ-το	στή-σ-αι-το
Pl.1.	θε-ί-μεθα	ε-ἵ-μεθα	δο-ί-μεθα	στη-σ-αί-μεθα
2.	θε-ῖ-σθε	ε-ἷ-σθε	δο-ῖ-σθε	στή-σ-αι-σθε
3.	θε-ῖ-ντο	ε-ἷ-ντο	δο-ῖ-ντο	στή-σ-αι-ντο

		Infinitivus		
	θέ-σθαι	ἕ-σθαι	δό-σθαι	στή-σα-σθαι
		Imperativus		
S. 2.	θοῦ	οὗ	δοῦ	στῆ-σαι
3.	θέ-σθω	ἕ-σθω	δό-σθω	στη-σά-σθω
Pl.2.	θέ-σθε	ἕ-σθε	δό-σθε	στή-σα-σθε
3.	θέ-σθων	ἕ-σθων	δό-σθων	στη-σά-σθων
		Participium		
	θέ-μενος	ἕ-μενος	δό-μενος	στη-σά-μενος

Аористные формы глаголов τίθημι, ἵημι, δίδωμι образуются атематически и в общем соответствуют презенсным, только отсутствует удвоение. Глагол ἵστημι имеет сигматический медиальный аорист переходного значения. Формы 2-го л. ед. числа индикатива ἔθου, ἔδου, ἐστήσω, конъюнктива θῇ, ἧ, δῷ и императива θοῦ, οὗ, δοῦ образовались в результате выпадения сигмы и слияния гласных. Если приставка в первых трех глаголах односложная, то ударение в императиве падает на корень: συντίθημι – συνθοῦ, если двусложная, то ударение находится именно на ней: ἀποδίδωμι – ἀπόδου.

§ 148. Предложения следствия

Предложения следствия вводятся союзом ὥστε (реже ὡς) *что, так что, чтобы*; в управляющем предложении этому союзу могут соответствовать указательные местоимения и наречия τοιοῦτος, τοσοῦτος *такой*, οὕτω(ς) *так*.

Следствие фактическое выражает индикатив, причем время употребляется такое, какое было бы по общему смыслу в предложении независимом, например: ὁ Ἄτλας τὸ ὄρος οὕτως ὑψηλόν ἐστι, ὥστε ἐλέγετο ταῖς κορυφαῖς ψαύειν τοῦ οὐρανοῦ *гора Атлас так высока, что, как говорят, вершинами касается неба.*

Следствие предполагаемое или преднамеренное выражают инфинитивные обороты или один инфинитив, например: οὐκ ἔχομεν ἀργύριον, ὥστε ἀγοράζειν τὰ ἐπιτήδεια *у нас нет денег, чтобы купить провиант.*

Отрицание при индикативе οὐ, в остальных случаях μή.

В зависимости от глаголов ποιέω *делать, заставлять*, διαπράττομαι *добиваться* следствие выражается только инфини-

тивным оборотом, например: ἥλιος ποιεῖ πάντα θάλλειν *солнце заставляет все цвести (= делает так, что все цветет)*; διεπράξατο μὴ διδόναι δίκην *он добился того, чтобы не отвечать по суду*.

Следствие возможное и нереальное выражают в сочетании с частицей ἄν оптатив, инфинитив, индикатив, например: ὅπλα κατεσκεύαζον, ὥστε τὴν πόλιν ὄντως ἂν ἡγήσω πολέμου ἐργαστήριον εἶναι *(всюду) заготовлялось оружие, так что можно было подумать, что город – это в сущности военная мастерская*.

Оттенок следствия имеет инфинитив, зависящий от выражения οἷός τε εἰμι *я могу, способен* (досл.: *я таков, что...*), например: οὐχ οἷοί τε ἦσαν αὐτοὶ ποιῆσαι *они не были в состоянии сделать (это)*.

Γέρων καὶ Θάνατος

Γέρων ποτὲ ξύλα τεμὼν ἐξ ὄρους κἀπὶ (=καὶ ἐπὶ) τῶν ὤμων ἀράμενος, ἐπειδὴ πολλὴν ὁδὸν ἐπηχθισμένος ἐβάδιζεν, ἀπειρηκὼς ἀπέθετό τε καὶ ξύλα, καὶ τὸν Θάνατον ἐλθεῖν ἐπεκαλεῖτο. Τοῦ δὲ Θανάτου εὐθὺς ἐπιστάντος καὶ τὴν αἰτίαν πυνθανομένου, δι᾽ ἣν αὐτὸν καλοίη, ὁ γέρων ἔφη· «Ἵνα τὸ φορτίον ἄρας ἐπιθῇς μοι».

Ὁ μῦθος δηλοῖ, ὅτι πᾶς ἄνθρωπος, φιλόζωος ὤν, κἂν (=καὶ ἐὰν) μυρίοις κινδύνοις περιπεσὼν δοκῇ θανάτου ἐπιθυμεῖν, ὅμως τὸ ζῆν πολὺ πρὸ θανάτου αἱρεῖται.

Περὶ Πανδώρας

Ἐπεὶ Προμηθεὺς κλέψας τὸ πῦρ ἐξ ἡλίου τοῖς ἀνθρώποις μετέδωκεν, Ζεὺς ὀργισθεὶς ἐκέλευσεν Ἥφαιστον ἐκ γῆς παρθένον καλὴν πλάσαι· ἡ μὲν Ἀθηνᾶ ἔδωκεν αὐτῇ τέχνας, Ἀφροδίτη δὲ χάριν, Ἑρμῆς δὲ γλῶτταν· καὶ πάντες οἱ θεοὶ καὶ πᾶσαι αἱ θεαὶ ἐκόσμησαν δῶρα δόντες τὴν γυναῖκα κάλλιστα· διὰ ταῦτα Πανδῶρα ἐκαλεῖτο. Ταύτην δὲ τὴν παρθένον Ἑρμῆς Διὸς κελεύσαντος πρὸς Ἐπιμηθέα, Προμηθέως ἀδελφόν, προσήγαγεν· ὁ δ᾽ οὐ πειθόμενος τῇ Προμηθέως βουλῇ, τὴν Πανδώραν ὡς γυναῖκα ἐδέξατο· ἡ δὲ παρθένος ἐν πίθῳ πάντα τὰ κακὰ ἐφόρει καὶ ἐξ αὐτοῦ νόσους καὶ τὰ ἄλλα κακὰ ἐξῆκεν εἰς τοὺς ἀνθρώπους· Προμηθεὺς δ᾽ αὐτὸς Διὸς κελεύσαντος ὑφ᾽ Ἡφαίστου ἐν Καυκάσῳ τῷ ὄρει προσηλώθη· ἀετὸς δὲ καθ᾽ ἡμέραν τὸ ἧπαρ αὐτοῦ κατήσθιεν. Τέλος δὲ Ἡρακλῆς τὸν ἀετὸν κατατοξεύσας Προμηθέα ἔλυσεν.

1. Σόλων νόμον ἔθηκε τὸν αὐτοῦ τέκνα ἀποδόμενον δίκην δοῦναι μεγάλην. 2. Ῥᾷον ἐξ ἀγαθοῦ θεῖναι κακόν, ἢ ἐκ κακοῦ ἐσθλόν. 3. «Ὁ θεός, – ἔφη Σωκράτης, – ἀνθρώποις ἐπ' ὠφελείᾳ προσέθηκε δι' ὧν αἰσθάνονται ἕκαστα, ὀφθαλμοὺς μὲν ὥσθ' ὁρᾶν τὰ ὁρατά, ὦτα δὲ ὥστ' ἀκούειν τὰ ἀκουστά». 4. Κατέκαυσαν οἱ Ἕλληνες τὰς κώμας, ὅπως φόβον ἐνθεῖεν τοῖς βαρβάροις. 5. Λάκαινα πρὸς τὸν υἱὸν λέγοντα μικρὸν ἔχειν ξίφος ἔλεγεν· «Βῆμα πρόσθες». 6. Οἱ Ἐφέσιοι πολιορκούμενοι ὑπὸ Κροίσου ἀνέθεσαν τὴν πόλιν τῇ Ἀρτέμιδι. 7. Κῦρος τοῖς στρατιώταις οὐκ ἠβούλετο ἐφεῖναι τὰς πόλεις ἁρπάσαι. 8. Ἐλευθέρους ἀφῆκε πάντας ἡ φύσις, οὐδένα δὲ δοῦλον πεποίηκεν. 9. Τῷ κυνὶ κρέας ἀφέντι διπλοῦν λαβεῖν μάτην ἐπιθυμοῦντι ὀρθῶς ὁμοιωθήσεται ὁ κενῶν ἐλπίδων ἐφιέμενος. 10. Μίνως καὶ Ῥαδάμανθυς οἱ ἐν Ἅιδου κριταὶ τοὺς πονηροὺς καταδικασθέντας ταῖς Ἐρινύσι παραδόντες εἰς τὴν τῶν ἀσεβῶν χώραν ἐφιᾶσιν. 11. Κλεινὸν τὸ τοῦ Ἀρχιμέδους· «Δός που στῶ, καὶ κινῶ τὴν γῆν». 12. Γοργὼ ἡ Λακεδαιμονία, Λεωνίδου γυνή, τῷ υἱῷ ἐπὶ στρατείαν πορευομένῳ τὴν ἀσπίδα παραδοῦσα ἔλεγεν· «Ἢ ταύτην ἢ ἐπὶ ταύτης». 13. Διογένει ἡλιουμένῳ Ἀλέξανδρος ἐπιστὰς ἔλεγεν· «Αἴτησόν με, ὃ θέλεις». Ὁ δὲ ἀπεκρίνατο· «Μικρὸν ἀπὸ τοῦ ἡλίου μετάστηθι». 14. Οἱ Ἀθηναῖοι τὸ Πείραιον ἐμπόριον ἐν μέσῳ τῆς Ἑλλάδος κατεστήσαντο. 15. Οἱ Ὑρκάνιοι ἀπὸ τῶν Ἀσσυρίων πρὸς Κῦρον ἀπέστησαν. 16. Λακεδαιμόνιοι εἰς τοῦτ' ἀπληστίας ἦλθον, ὥστ' οὐκ ἐξήρκεσεν αὐτοῖς ἔχειν τὴν κατὰ γῆν ἀρχήν. 17. Ἀργύριον οὐδείς πω οὕτω πολὺ ἐκτήσατο, ὥστε μὴ ἔτι προσδεῖσθαι. 18. Πλοῖα τοῖς πολεμίοις παρῆν, ὥστε θαλάττης ἐκράτουν ἄν, εἰ σιτηρέσια αὐτοῖς ἱκανὰ ὑπῆρχεν. 19. Θεμιστοκλῆς ἐποίησε τὴν πόλιν φιλεῖν αὐτόν. 20. Οὐχ οἷόν τε ἦν διώκειν τοὺς βαρβάρους. 21. Ἀφεὶς τὰ φανερὰ μὴ δίωκε τἀφανῆ.

Упражнения. Определить части речи и их формы: ἥ, ἧ, ᾗ, ἡ, ἤ, ᾖ, ὧ, ὦ, ᾧ, ὠσί, ὦσι, ὧσι, ὡς. Просклонять причастия θείς, θεῖσα, θέν; δούς, δοῦσα, δόν; στάς, στᾶσα, στάν.

Занятие 35

§ 149. Остальные формы глаголов на -μι I группы

Формы пассивного аориста, будущего времени, перфекта и плюсквамперфекта всех залогов у глаголов на -μι I группы образуются так же, как соответствующие формы глаголов на

-ω, причем конечный гласный основы в одном случае удлиняется, в другом остается без изменения.

		Futurum	Aoristus	Perfectum	Plusquamperf.
τίθημι	act.	θήσω		τέθεικα	ἐτεθήκειν
(θε/θη)	med.	θήσομαι		τέθειμαι	ἐτεθείμην
	pass.	τεθήσομαι	ἐτέθην	[κεῖμαι]	[ἐκείμην]
ἵημι	act.	ἥσω		εἷκα	εἵκειν
(ἑ/ἡ)	med.	ἥσομαι		εἷμαι	εἵμην
	pass.	ἑθήσομαι	εἵθην		
δίδωμι	act.	δώσω		δέδωκα	ἐδεδώκειν
(δο/δω)	med.	δώσομαι		δέδομαι	ἐδεδόμην
	pass.	δοθήσομαι	ἐδόθην		
ἵστημι	act.	στήσω		ἕστηκα	εἱστήκειν
(στα/στη)	med.	στήσομαι		ἕσταμαι	εἱστάμην
	pass.	σταθήσομαι	ἐστάθην		

Некоторые формы глагола ἵστημι имеют непереходное значение: praes. med. ἵσταμαι *становлюсь, занимаю место*, fut. med. στήσομαι *стану, буду стоять*, aor. act. ἔστην *стал*, perfect. act. ἕστηκα *стою*, plqpf. act. εἱστήκειν *стоял*.

§ 150. Глаголы с чередующимися перфектными основами

Отдельные глаголы сохраняют перфектную основу на κ в основном в ед. числе индикатива, в остальных формах личные окончания присоединяются непосредственно к основе:

ἕστηκα	*я стою*	—	от ἵστημι	*ставить* (ἑστα)
τέθνηκα	*я мертв*	—	от ἀποθνήσκω	*умирать* (θαν/θνη/θνα)
δέδοικα	*я боюсь*	—	от δείδω	*бояться* (δει/δοι/δι)

Perfectum indicativi

S. 1.	ἕστηκα	τέθνηκα	δέδοικα	δέδια
2.	ἕστηκας	τέθνηκας	δέδοικας	δέδιας
3.	ἕστηκε(ν)	τέθνηκε(ν)	δέδοικε(ν)	δέδιε(ν)
Pl.1.	ἕσταμεν	τέθναμεν		δέδιμεν
2.	ἕστατε	τέθνατε		δέδιτε
3.	ἑστᾶσι(ν)	τεθνᾶσι(ν)		δεδίασι(ν)

Plusquamperfectum indicativi

S. 1.	εἱστήκειν		ἐδεδοίκειν	ἐδεδίειν
2.	εἱστήκεις		ἐδεδοίκεις	ἐδεδίεις
3.	εἱστήκει		ἐδεδοίκει	ἐδεδίει
Pl.1.	ἕσταμεν			
2.	ἕστατε			
3.	ἕστασαν	ἐτεθνήκεσαν и ἐτέθνασαν	ἐδέδισαν	ἐδεδίεσαν

Coniunctivus

Pl. 1. στῶμεν   S. 1. τεθνήκω

Optativus

S. 1. ἑσταίην   τεθναίην

Imperativus

S. 2. ἕσταθι   S. 3. τεθνάτω   S. 2. δέδιθι

Infinitivus

ἑστάναι   τεθνηκέναι и τεθνάναι   δεδιέναι

Participium

ἑστώς, -ῶτος	τεθνεώς, -ῶτος	δεδιώς, -ότος
ἑστῶσα, -σης	τεθνεῶσα, -σης	δεδιυῖα, -υίας
ἑστώς, -ῶτος	τεθνεός, -ῶτος	δεδιός, -ότος
(ἑστηκώς, -υῖα, -ός)	(τεθνηκώς, -υῖα, -ός)	

Формы с κ и без нее могут сосуществовать как дублеты. Глагол ἵστημι во мн. числе плюсквамперфекта не имеет приращения.

Атематические перфектные формы бывают у глагола βαίνω *идти* и недостаточного глагола ἔτλην *терпеть* (ср. § 142).

§ 151. Спряжение глагола οἶδα

Недостаточный глагол οἶδα *я знаю* употребляется только в атематических перфектных формах, причем удвоение отсутствует. Чередуются разные ступени основы, исторически начинавшейся с дигаммы: сильная – (ϝ)εἰδ/(ϝ)οἰδ и слабая – (ϝ)ἰδ. В этом глаголе особенно отчетливо видно результативное значение перфектных форм: *я узнал – я знаю*. То же наблюдается в глагольных формах ἕστηκα, τέθνηκα, δέδοικα (§ 150), а также в формах εἴωθα *я привык*, ἔοικα *я похож*.

	Perfectum			Plusquamperfectum	
	Indicativus	Coniunctivus	Optativus		
S. 1.	οἶδα	εἰδῶ	εἰδείην	ᾔδειν	(ᾔδη)
2.	οἶσθα	εἰδῇς	εἰδείης	ᾔδεις	(ᾔδησθα)
3.	οἶδε(ν)	εἰδῇ	εἰδείη	ᾔδει	
Pl. 1.	ἴσμεν	εἰδῶμεν	εἰδεῖμεν (εἰδείημεν)	ᾔδεμεν	(ᾖσμεν)
2.	ἴστε	εἰδῆτε	εἰδεῖτε (εἰδείητε)	ᾔδετε	(ᾖστε)
3.	ἴσασι(ν)	εἰδῶσι(ν)	εἰδεῖεν (εἰδείησαν)	ᾔδεσαν	(ᾖσαν)

	Imperativus		Infinitivus	Participium
S. 2.	ἴσθι	Pl. 2. ἴστε	εἰδέναι	εἰδώς, εἰδυῖα, εἰδός
3.	ἴστω	3. ἴστων		(gen. εἰδότος, -υίας, -ότος)

Futurum

εἴσομαι, εἴσῃ, εἴσεται и т. д. (реже εἰδήσω).

Конечная дельта основы перед μ, θ и τ переходит в σ.

Основа (ϝ)ιδ присутствует в аористе глагола ὁράω *видеть* – εἶδον.

§ 152. Условные предложения

Союзом условного предложения служит εἰ *если*, который с частицей ἄν сливается в ἐάν (ἤν, ἄν). Отрицание – μή. Совокупность условного придаточного предложения (протасиса) и управляющего (аподосиса) составляет так называемый условный период.

В зависимости от отношения условия и следствия к действительности и в зависимости от оценки этого отношения со стороны говорящего различаются четыре вида условных периодов. Морфологически эти различия выражаются определенными временами и наклонениями в сочетании с частицей ἄν или без нее.

а) реальный вид (casus realis), когда условие и следствие соответствуют действительности в настоящем и прошедшем времени и когда говорящий не сомневается в этом соответствии. В обеих частях условного периода в таком случае употребляется индикатив:

εἰ τοῦτο λέγεις, ἁμαρτάνεις *если ты это говоришь, то ошибаешься;*

εἰ τοῦτο ἔλεγες, ἡμάρτανες *если ты это говорил, то ошибался;*

εἰ τοῦτο εἶπες, ἥμαρτες *если ты это сказал, то ошибся.*

б) футуральный, или эвентуальный вид (casus futuralis sive eventualis), когда говорящий ожидает исполнения условия и следствия в будущем или выражает повторяемость действия (а также обобщение). В протасисе употребляется конъюнктив с ἄν, а в аподосисе индикатив будущего и настоящего времени или императив: ἐὰν τοῦτο λέγῃς (λέξῃς), ἁμαρτήσῃ *если ты это будешь говорить (скажешь), то ошибешься*; ἅπας λόγος, ἐὰν ἀπῇ τὰ πράγματα, μάταιόν τι φαίνεται καὶ κενόν *всякое слово, если нет дел (= всякий раз, когда нет дел), кажется чем-то глупым и пустым.*

в) потенциальный вид (casus potentialis), когда говорящий представляет условие и следствие как возможные, но необязательные. В обеих частях условного периода употребляется оптатив, причем в аподосисе – с частицей ἄν:

εἰ τοῦτο λέγοις (λέξαις), ἁμαρτάνοις (ἁμάρτοις) ἄν *в случае, если ты это будешь говорить (скажешь), ты можешь ошибиться.*

г) нереальный вид (casus irrealis), когда говорящий представляет условие и следствие заведомо невыполнимыми, противоречащими действительности. В обеих частях периода употребляется индикатив прошедшего времени, причем в аподосисе с частицей ἄν.

Имперфект выражает противоположность тому, что есть:

εἰ τοῦτο ἔλεγες, ἡμάρτανες ἄν *если бы ты это (сейчас) говорил, то ошибался бы* (но ты этого не говоришь и поэтому не ошибаешься). Аорист выражает противоположность тому, что было:

εἰ τοῦτο ἔλεξας, ἥμαρτες ἄν *если бы ты это (раньше) сказал, то ошибся бы* (но ты этого не сказал и поэтому не ошибся).

Возможны и смешанные виды условных периодов, например, сочетание футурального вида с потенциальным: ἐὰν φυλάττωμεν, ἧττον ἂν δύναιντο οἱ πολέμιοι ἡμᾶς θηρᾶν *если мы будем сторожить, то враги не так легко могут (могли бы) ловить нас.*

§ 153. Уступительные предложения

Уступительные предложения примыкают к условным, поскольку в них используется союз εἰ в сочетании с союзом καί, а также с ἄν и отрицательными частицами, и употребляются те же времена и наклонения, что и в условных периодах. Значение союза в таких предложениях – ***хотя, несмотря, даже если (б ы).*** **В управляющем же предложении может находиться наречие** ὅμως ***однако, все-таки.*** **Союзы εἰ и καί с частицей ἄν могут сливаться в κἄν.**

Следующее предложение представляет собой пример на сочетание уступительного предложения футурального вида с управляющим предложением потенциального вида: οὐδ' ἄν (=ἐὰν) πολλαὶ γέφυραι ὦσιν, ἔχοιμεν ἄν, ὅποι φυγόντες ἡμεῖς σωθῶμεν ***даже если бы было много мостов, нам некуда бежать, чтобы спастись.***

Ἀλέξανδρος πρὸς Βαβυλῶνα καὶ Σοῦσα καὶ Περσέπολιν ἐλαύνει

Μετὰ τὴν ἐν Ἀρβήλοις μάχην ὁ Ἀλέξανδρος ἐφιέμενος Βαβυλῶνι τῇ πόλει ἐπιθέσθαι ἐκεῖσε ὡρμᾶτο. Ἡ γὰρ τῶν Περσῶν φυγὴ καὶ ὁ φόβος, ὃν πᾶσιν ἐνέθηκεν, ἐλπίδα αὐτῷ προύθεσαν τὴν πόλιν ἀμαχεὶ παραδοθήσεσθαι. Καὶ ταύτης τῆς ἐλπίδος οὐκ ἐψεύσθη· οἱ γὰρ ἐνοικοῦντες παρεῖσαν αὐτὸν εἰς τὴν πόλιν καὶ παρέδοσαν αὐτῷ τὴν πόλιν καὶ πάντα τὰ χρήματα, ἃ ἐκεῖ κατετέθη. Ἐκ τούτου δὲ πρὸς Βαβυλωνίους οἰκείως διατεθεὶς πίστιν αὐτοῖς δεδωκέναι λέγεται τὰ ὑπὸ Ξέρξου κατεσκαμμένα ἱερὰ ἐπανορθώσειν. Ἐντεῦθεν δ' ἐπορεύετο ὁ Ἀλέξανδρος εἰς Σοῦσα ἐλπίζων καὶ ταύτην τὴν πόλιν τοὺς ἐνοικοῦντας ἑαυτῷ παραδώσειν. Πορευομένῳ δ' ἄγγελος ἐπιστολὴν παρέδωκε παρὰ τοῦ τῆς πόλεως προστάτου. Ἐν ταύτῃ δὲ τῇ ἐπιστολῇ ἐγέγραπτο, ὅτι οἱ Σούσιοι τὴν πόλιν παραδιδοῖεν καὶ πάντα τὰ ἐκεῖ κατατεθέντα χρήματα τῷ Ἀλεξάνδρῳ προϊεῖεν. Ἐπεὶ δ' εἰς τὴν πόλιν ἧκε, παρεδόθη αὐτῷ καὶ πεντήκοντα χίλια ἀργυρίου τάλαντα, ἃ βασιλεὺς πρὸς τὸν πόλεμον ἐν τῇ πόλει κατέθετο. Ἀπὸ τούτου τοῦ ἀργυρίου τρισχίλια τάλαντα τῷ Ἀντιπάτρῳ ἀποδοῦναι λέγεται.

Λέων καὶ ὄνος

Λέων καὶ ὄνος κοινωνίαν πρὸς ἀλλήλους σπεισάμενοι ἐξῆλθον ἐπὶ ἄγραν. Γενομένων δὲ αὐτῶν κατά τι σπήλαιον, ἐν ᾧ ἦσαν αἶγες, ὁ

μὲν λέων πρὸ τοῦ στομίου στὰς ἐξερχομένους παρετηρεῖτο, ὁ δὲ εἰσελθὼν ἤλαυνεν αὐτάς, καὶ ὠγκᾶτο ἐκφοβεῖν βουλόμενος. Τοῦ δὲ λέοντος τὰς πλείστας συλλαβόντος ἐξελθὼν ἐκεῖνος ἐπυνθάνετο αὐτοῦ, εἰ γενναίως ἠγωνίσατο καὶ τὰς αἶγας ἐδίωξεν. Ὁ δὲ εἶπεν· «Ἀλλ' εὖ ἴσθι, ὅτι κἀγὼ ἄν σε ἐφοβήθην, εἰ μὴ ᾔδειν ὄνον ὄντα σε».

Οὕτως οἱ παρὰ τοῖς εἰδόσιν ἀλαζονευόμενοι εἰκότως γέλωτα ὀφλισκάνουσιν (Aesop.).

Ἀποφθέγματα

Ἀριστῶντι Διογένει ἐν ἀγορᾷ περιέστασαν πολλοὶ συνεχὲς λέγοντες· «Κύον, κύον». Ὁ δέ· «Ὑμεῖς, – ἔφη, – ἐστὲ κύνες, οἵ με ἀριστῶντα περιεστήκατε».

Ὄμβρου ποτὲ γενομένου Διογένης εἱστήκει κάτομβρος. Τῶν δὲ περιεστώτων ἐλεούντων παρὼν Πλάτων ἔφη· «Ἐὰν αὐτὸν ἐλεῆτε, ἀπόστητε».

Ἀναξαγόρᾳ τις ἔφη τεθνάναι αὐτῷ δύο παῖδας, οὕσπερ εἶχεν· ὁ δὲ μηδὲν διαταραχθεὶς ἔλεγεν· «Ἤιδειν θνητοὺς γεγεννηκώς».

Δημοσθένης πρὸς κλέπτην λέγοντα· «Οὐκ ᾔδειν, ὅτι σόν ἐστιν», – «Ὅτι δὲ, – ἔφη, – σὸν οὐκ ἔστιν, ᾔδεισθα».

1. Ἡρακλείτης λέγει ἐκ πυρὸς τὰ πάντα συνεστάναι. 2. Ἀρίων ὑπὸ δελφῖνος κομισθεὶς ἐπὶ γῆν ἐξετέθη. 3. Ἦσαν αἱ Ἰωνικαὶ πόλεις Τισσαφέρνους τὸ ἀρχαῖον ἐκ βασιλέως δεδομέναι, ἀφειστήκεσαν δὲ πρὸς Κῦρον πᾶσαι πλὴν Μιλήτου. 4. Οἱ ἀδικήσαντες δίκην δώσουσιν. Μήποτε ὑφ' ἡμῶν παραθείη, ἃ ἡμᾶς πράσσειν δεῖ. 5. Κούφως φέρειν δεῖ τὰς παρεστώσας τύχας. 6. Ὁ μηδὲν εἰδὼς οὐδὲν ἐξαμαρτάνει. 7. Λύπην γὰρ εὔνους οἶδεν ἰᾶσθαι λόγος. 8. Οὐκ ᾔδεσαν οἱ Ἕλληνες Κῦρον τεθνεῶτα· ἅμα δὲ ἡλίῳ ἀνέχοντι ἄγγελος ἐλθὼν ἔλεγεν, ὅτι Κῦρος τέθνηκεν. 9. Καλὸν τὸ καιροῦ παντὸς εἰδέναι μέτρον. 10. Καλῶς θανόντες ζῶσιν, οὐ τεθνᾶσί τοι. 11. Οἱ δειλοὶ τὴν ἑαυτῶν σκιὰν δεδίασιν. 12. Σωκράτης ἔλεγε τάδε· «Οἶδα μηδὲν εἰδώς». 13. Ὁ μὲν τὸ ὅλον εἰδὼς εἰδείη ἂν καὶ τὸ μέρος, οἱ δὲ μόνον μέρος εἰδότες οὐκ ἔτι ἴσασι τὸ ὅλον. 14. Οἱ Λακεδαιμόνιοι ἐβοήθησαν τοῖς Ἀθηναίοις· ἐδεδίεσαν γάρ, μὴ ἐκεῖνοι προδοθέντες ὑπ' αὐτῶν προσθεῖντο Μαρδονίῳ. 15. Εἰ θεοί τι δρῶσιν αἰσχρόν, οὐκ εἰσιν θεοί (Eurip.). 16. Γελᾷ δ' ὁ μῶρος, κἂν τι μὴ γελοῖον ᾖ. 17. Ἴσος ἴσθι πᾶσι, κἂν ὑπερέχῃς τῷ βίῳ. 18. Ἅπαν δεδομένον δῶρον, ἂν καὶ μικρὸν ᾖ, μέγιστόν ἐστι, μετ' εὐνοίας διδόμενον. 19. Εἰ ἀναγκαῖον εἴη ἀδικεῖν ἢ ἀδικεῖσθαι,

ἑλοίμην ἂν μᾶλλον ἀδικεῖσθαι ἢ ἀδικεῖν. 20. Σωκράτης οὐκ ἂν προέλεγεν, εἰ μὴ ἐπίστευεν ἀληθεύσειν. 21. Οὐκ ἂν ἐποίησε ταῦτα, εἰ μὴ ἐγὼ αὐτὸν ἐκέλευσα.

Упражнения. Определить части речи и их формы: ἵστασαν, ἱστᾶσαν; ἔστησαν (2), ἱστᾶσιν, ἑστῶσιν, ἱστῶσιν; ἑστάναι, ἱστάναι, εἴσεται, ἔσται; εἴδω, εἶδον, εἶδος; ἴστε, ἵστη (2); ἔστε, ἐστέ, ἴσθι (2); ἦσαν, ἤσαν; ἤδη, ἥδη.

Занятие 36

§ 154. Глаголы II спряжения с основой на α

К первой группе глаголов II спряжения примыкают шесть глаголов с основой на α. В презенсной системе они имеют атематические формы подобно ἵστημι – ἵσταμαι. В индикативе действительного залога в ед. числе – сильный вариант основы, во мн. числе – слабый; презенсная основа имеет удвоение. В медиальном залоге удвоение отсутствует, окончание 2-го л. ед. числа индикатива -σαι остается в неизменном виде; ударение в конъюнктиве и оптативе, как у глаголов I спряжения, находится возможно дальше от конца слова.

Остальные формы этих глаголов образуются как соответствующие формы глаголов I спряжения, только глагол ὀνίνημι при сигматическом аористе действительного залога имеет корневой аорист медиального залога по типу ἐπριάμην (§ 142) и ἐθέμην, ἐδόμην, εἵμην (§ 147).

Praes. act.	Fut. act.	Aor. act.-med.	Perf. act.	Perf. med.-pass.	Aor. pass.
ὀνίνημι (ὀνη/ονα) *быть полезным*	ὀνήσω	ὤνησα, ὠνήμην			ὠνήθην
πίμπλημι (πλη/πλα) *наполнять*	πλήσω	ἔπλησα	πέπληκα	πέπλησμαι	ἐπλήσθην
πίμπρημι (πρη/πρα) *сжигать*	πρήσω	ἔπρησα	πέπρηκα	πέπρησμαι	ἐπρήσθην

Praesens	ἄγαμαι (ἀγα) *восхищаться*	δύναμαι (δυνα) *мочь*	ἐπίσταμαι (ἐπιστα) *знать*
Futurum	ἀγάσομαι	δυνήσομαι	ἐπιστήσομαι
Perfectum		δεδύνημαι	
Aoristus	ἠγάσθην	ἐδυνήθην	ἠπιστήθην

	Praesens	Praesens	Imperfectum	Coniunctivus
S. 1.	πίμπλη-μι	δύνα-μαι	ἐ-δυνά-μην	S.1. δύν-ω-μαι...
2.	πίμπλη-ς	δύνα-σαι	ἐ-δύνω	Optativus
3.	πίμπλη-σι(ν)	δύνα-ται	ἐ-δύνα-το	S.1. δυνα-ί-μην...
Pl.1.	πίμπλα-μεν	δυνά-μεθα	ἐ-δυνά-μεθα	Imperativus
2.	πίμπλα-τε	δύνα-σθε	ἐ-δύνα-σθε	S.2. δύνω
3.	πιμπλᾶ-σι(ν)	δύνα-νται	ἐ-δύνα-ντο	3. δυνά-σθω...

Infinitivus δύνα-σθαι Participium δυνά-μενος, -η, -ον

§ 155. Отложительные глаголы (verba deponentia)

Отложительными называются глаголы, которые, будучи медиально-пассивными по форме, имеют активное значение. Аналогичные глаголы есть и в русском языке: так, глагол *улыбаться*, несмотря на присутствие частицы *-ся*, имеет не страдательное или возвратное, а активное значение.

Отложительные глаголы разделяются на две группы в зависимости от залога аористной формы.

а) Deponentia media имеют медиальный аорист: δέχομαι *принимаю*, ἐδεξάμην *принял*; εὔχομαι *молю*, ηὐξάμην *умолил* и др.

б) Deponentia passiva имеют пассивный аорист: ἄγαμαι *удивляюсь*, ἠγάσθην *удивился*; δύναμαι *могу*, ἐδυνήθην *смог*; ἐπίσταμαι *знаю*, ἠπιστήθην *узнал* и др.

Кроме того, некоторые deponentia media наряду с медиальным аористом активного значения имеют aoristus passivi страдательного значения; такие глаголы называются deponentia medio-passiva: αἰτιάομαι *обвиняю*, ᾐτιασάμην *обвинил*; ᾐτιάθην *был обвинен*; βιάζομαι *принуждаю*, ἐβιασάμην *принудил*, ἐβιάσθην *был принужден*.

Список отложительных глаголов см. в Грамматическом справочнике.

§ 156. Определительные (относительные) предложения

Определительные придаточные предложения, начинающиеся с какого-либо относительного местоимения (ὅς, ὅστις, οἷος, ὁπόσος, ὅσος), могут заключать в себе чистое определение предмета, названного или подразумевающегося в управляющем предложении. В таком случае могут употребляться все наклонения и времена независимых предложений. Отрицанием, в зависимости от смысла, служит как οὐ, так и μή.

Ὃν οἱ θεοὶ φιλοῦσιν, ἀποθνήσκει νέος ***кого боги любят, тот умирает молодым***; ἐν μέσῳ ἡμῶν καὶ βασιλέως ὁ Τίγρις ποταμός ἐστιν, ὃν οὐκ ἂν δυναίμεθα διαβῆναι ***посредине между нами и царем находится река Тигр, которую мы не могли бы перейти.***

Определительные предложения могут заключать оттенки различных обстоятельств:

а) следствия – после выражений εἰσὶ οἱ ***есть такие, которые***; οὐκ ἔστιν ὅστις, οὐδείς ἐστιν ὅστις ***нет никого, кто бы;*** οὐδεὶς γὰρ οὕτω ἀνόητός ἐστιν, ὅστις πόλεμον πρὸ εἰρήνης αἱρεῖται ***нет никого столь безумного, кто предпочел бы войну миру***;

б) цели (обычно употребляется индикатив будущего времени):

ἡγεμόνα αἰτήσομεν Κῦρον, ὅστις ἡμᾶς ἀπάξει ***мы будем просить у Кира проводника, который (= чтобы он) провел бы нас***;

в) причины: θαυμαστὸν ποιεῖς, ὃς ἡμῖν οὐδὲν δίδως ***странно ты поступаешь, ничего не давая нам (= так как ничего не даешь нам)***;

г) условия – употребляются все виды условных периодов:

реальный вид: ἃ μὴ οἶδα, οὐδὲ οἴομαι εἰδέναι ***(если) чего не знаю, то и не думаю, что знаю***; **футуральный вид:** ἡγεμόνι πιστεύσομεν, ὃν ἂν Κῦρος διδῷ (= ἐάν τινα διδῷ) ***мы будем верить проводнику, которого даст Кир (= если он его даст)***; **потенциальный вид:** ἐγὼ γὰρ ὀκνοίην ἂν εἰς τὰ πλοῖα ἐμβαίνειν, ἃ ἡμῖν δοίη ***я поколебался бы взойти на корабли, которые он бы нам дал***; **нереальный вид:** οἱ παῖδες ἡμῶν, ὅσοι ἐνθάδε ἦσαν, ὑπὸ τούτων ἂν ὑβρίζοντο (= εἴ τινες ἦσαν) ***ваши дети, которые (= если бы они) там находились, претерпели бы от них обиду.***

Могут быть также оттенки уступки, времени, сравнения.

Κοιλία καὶ πόδες

Κοιλία καὶ πόδες περὶ δυνάμεως ἤριζον. Παρ' ἕκαστα δὲ τῶν ποδῶν λεγόντων, ὅτι τοσοῦτον προέχουσι τῇ ἰσχύι, ὡς καὶ αὐτὴν τὴν γαστέρα βαστάζειν, ἐκείνη ἀπεκρίνατο· «Ἀλλ', ὦ οὗτοι, ἐὰν μὴ ἐγὼ τροφὴν προσλάβωμαι, οὐδὲ ὑμεῖς βαστάζειν δύνησθε».

Οὕτω καὶ ἐπὶ τῶν στρατευμάτων μηδέν ἐστι τὸ πολὺ πλῆθος, ἐὰν μὴ οἱ στρατιῶται ἄριστα φρονῶσιν (Aesop.).

Ἀλέξανδρος τὰ ἐν Περσεπόλει βασίλεια ἐμπίπρησιν

Περσεπόλεως γὰρ μεγίστης τῶν Περσῶν πόλεως ἁλούσης, ἐπεὶ Ἀλέξανδρος ὁ Φιλίππου εἱστίασεν ἐπινίκια μετὰ τῶν φίλων, οἴνου ἐμπεπλησμένος, ὡς λέγουσιν, τὰ ἐκεῖ βασίλεια ἐμπρῆσαι ἐβουλεύσατο, ὡς τιμωρῶν τοῖς Ἕλλησιν, ὅτι καὶ ἐκείνων ἱερά τε καὶ πόλεις ὑπὸ τῶν Περσῶν ἐνεπρήσθησαν. Ὁ δὲ Παρμενίων πάντα ποιήσας, ὅπως μὴ ἐμπρήσει ὁ Ἀλέξανδρος τὰ ἱερά, ὅμως οὐκ ἐδυνήθη αὐτὸν ἀποστῆσαι τούτου τοῦ βουλεύματος. Οὕτως οὖν βασιλεὺς τὰ βασίλεια ἐκ κεδρῶν ᾠκοδομημένα καὶ πολλῶν χρημάτων ἐμπεπλησμένα ἐνέπρησεν. Ἄγανται δὲ πάντες ἔτι καὶ νῦν τὰ τῶν βασιλείων σῳζόμενα, τὰς κίονας καὶ τὰς κιόνων κεφαλάς· καλεῖται δὲ τὰ Περσεπόλεως σῳζόμενα «αἱ τετταράκοντα κίονες».

Ἀποφθέγματα

Ἀρίστιππος ὁ φιλόσοφος συνιστάντος τινὸς αὐτῷ τὸν υἱὸν ᾔτησε πεντακοσίας δραχμάς· τοῦ δ' εἰπόντος· «Τοσούτου ἂν δυναίμην ἀνδράποδον πρίασθαι», ὁ Ἀρίστιππος· «Πρίω, – ἔφη, – καὶ ἕξεις δύο».

Πύῤῥος ἀκούσας, ὅτι νεανίσκοι πολλὰ βλάσφημα περὶ αὐτοῦ πίνοντες εἰρήκασιν, ἐκέλευσεν ἀχθῆναι μεθ' ἡμέραν πρὸς αὐτὸν ἅπαντας· ἀχθέντων δὲ τὸ πρῶτον ἠρώτησεν, εἰ ταῦτα εἰρήκασι περὶ αὐτοῦ. Καὶ ὁ νεανίσκος· «Ταῦτα, – ἔφη, – ὦ βασιλεῦ· πλείονα δ' ἂν τούτων εἴπομεν, εἰ πλείονα οἶνον εἴχομεν».

1. Πτωχοῦ πήρα οὐ πίμπλαται. 2. Ἡρόστρατός τις Ἐφέσιος, ἵνα ὄνομα ἔχοι παρὰ τοῖς ὕστερον, τὸν τῆς Ἐφεσίας Ἀρτέμιδος νεὼν ἐνέπρησεν. 3. Κῦρος ἐβοήθει προθύμως τούτοις, οἳ τοὺς φίλους αὐτοῦ ὀνῆσαί τι ἐδόκουν. 4. Θεμιστοκλῆς οὐδὲν ὤνητο οὔτε ἐκ τῆς ναυμαχίας τῆς περὶ Σαλαμῖνα οὔτε ἐκ πρεσβείας τῆς εἰς Σπάρτην. 5. Ἠπίστατο ὁ Κῦρος, εἴ τις καὶ ἄλλος, χάριν ἀποδοῦναι, ἠπίστατο δὲ καὶ ἐκπλῆσαι

τὰς τῶν στρατιωτων γνώμας. 6. Ὃς ἂν μεγάλα δύνηται διαπρᾶξαι γνώμῃ μᾶλλον ἢ ρώμῃ, οὗτος μέγας ἀνήρ ἐστιν. 7. Πόλλ' ἠπίστατο ἔργα, κακως δ' ἠπίστατο πάντα. 8. Οὐδεὶς τὸ μέλλον ἀσφαλῶς ἐπίσταται. 9. Καὶ εἰ ἐβουλήθης, οὐκ ἂν ἐδυνήθης. 10. Κῦρος ὅταν τινὶ τῶν στρατιωτων ἀγασθῇ, μάλιστα αὐτὸν τιμᾷ. 11. Λυκοῦργος τοῖς τῶν Λακεδαιμονίων παισὶν ἐφῆκε κλέπτειν, ὅ τι δύναιντο· ὅπως δὲ κλέπτοντες καὶ πειρῶντο λανθάνειν, νόμιμον ἦν, εἰ ληφθεῖεν κλέπτοντες, μαστιγοῦσθαι. 12. Τίς οὕτω μαίνεται, ὅστις οὐ βούλεται φίλος σοι εἶναι; 13. Ἔδοξε τῷ δήμῳ τριάκοντα ἄνδρας ἑλέσθαι, οἳ τοὺς πατρίους νόμους συγγράφουσιν, καθ' οὓς πολιτεύουσιν. 14. Πάντας οἱ Λακεδαιμόνιοι, ὅσους λάβοιεν ἐν τῇ θαλάττῃ, ὡς πολεμίους διέφθειρον. 15. Τῷ ἀνδρί, ὃν ἂν ἕλησθε, πείσομαι ᾗ δυνατὸν μάλιστα. 16. Κλέαρχος παρεκάλεσε σύμβουλον, ὅς γε καὶ αὐτῷ καὶ τοῖς ἄλλοις ἐδόκει προτιμηθῆναι μάλιστα τῶν Ἑλλήνων. 17. Ἃ μὴ προσήκει, μήτ' ἄκουε μήθ' ὅρα. 18. Ἡρόδοτος λέγει, ὅτι οἱ Αἰγύπτιοι τὰ τῶν νεκρῶν σώματα ἐμπιμπλᾶσι παντοίων θυμιαμάτων. 19. Πρὸς δύσκολον ἥκων ἰατρὸς καὶ ἁψάμενος αὐτοῦ ἔλεγεν· «Κακῶς πυρέττεις». Ὁ δὲ δυσχεραίνων ἔλεγεν· «Εἰ σὺ δύνασαι πυρέττειν βέλτιον, ἰδοὺ κλίνη, κατακλιθεὶς πύρεττε». 20. Ἀνὴρ δίκαιός ἐστιν οὐχ ὁ μὴ ἀδικῶν, ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος μὴ βούλεται.

Упражнения. Проспрягать в презенсе глаголы: ὀνίνημι, ἄγαμαι.

Занятие 37

§ 157. Глаголы II спряжения на -(ν)νυμι

У ряда глаголов II спряжения презенсная основа образуется при помощи суффикса -(ν)νυ. Если корень оканчивается на заднеязычный звук κ/γ или сонорные звуки λ, μ, ρ, то используется суффикс -νυ, например: δείκνυμι *показывать*, ὄλλυμι из ὄλνυμι губить; если корень оканчивается на гласные α, ε, ω, то суффиксом служит -ννυ; в последнем случае корень исторически оканчивался на сигму, которая подверглась ассимиляции с последующим ν, например: ζώννυμι из ζώσνυμι *опоясывать*.

Эти глаголы в большинстве форм презенсной системы сохраняют атематизм, причем в индикативе в ед. числе суффикс

имеет долгий гласный, а во мн. числе – краткий. Формы презенсных конъюнктива и оптатива, а также все формы остальных времен образуются по 1-му спряжению.

Перечень глаголов на -(ν)νυμι см. в Грамматическом справочнике.

Activum

	Indicativus			
	Praesens	Imperfectum	Coniunctivus	Imperativus
S. 1.	δείκ-νυ-μι	ἐ-δείκ-νυ-ν	δεικ-νύ-ω	δείκ-νυ
2.	δείκ-νυ-ς	ἐ-δείκ-νυ-ς	δεικ-νύ-η-ς	δεικ-νύ-τω
3.	δείκ-νυ-σι(ν)	ἐ-δείκ-νυ	Optativus	
Pl.1.	δείκ-νῠ-μεν	ἐ-δείκ-νῠ-μεν	δεικ-νύ-οι-μι	δείκ-νυ-τε
2.	δείκ-νῠ-τε	ἐ-δείκ-νῠ-τε	δεικ-νύ-οι-ς	δεικ-νύ-ντων
3.	δεικ-νύ-ασι(ν)	ἐ-δείκ-νῠ-σαν		

Infinitivus δεικ-νύ-ναι Participium δεικ-νύ-ς, -νῦ-σα, -νῦ-ν (gen. δεικ-νύ-ντ-ος)

Medium-passivum

	Indicativus			
	Praesens	Imperfectum	Coniunctivus	Imperativus
S. 1.	δείκ-νυ-μαι	ἐ-δεικ-νύ-μην	δεικ-νύ-ω-μαι	
2.	δείκ-νυ-σαι	ἐ-δείκ-νυ-σο	δεικ-νύ-η	δείκ-νυ-σο
3.	δείκ-νυ-ται	ἐ-δείκ-νυ-το	Optativus	δεικ-νύ-σθω
Pl.1.	δεικ-νύ-μεθα	ἐ-δεικ-νύ-μεθα	δεικ-νυ-οί-μην	
2.	δείκ-νυ-σθε	ἐ-δείκ-νυ-σθε	δεικ-νύ-οι-ο	δείκ-νυ-σθε
3.	δείκ-νυ-νται	ἐ-δείκ-νυ-ντο		δεικ-νύ-σθων

Infinitivus δείκ-νυ-σθαι Participium δεικ-νύ-μενος, -η, -ον

Формы остальных времен образуются от корня, например: fut. act. δείξω, aor. act. ἔδειξα, perf. act. δέδειχα и т. д.

§ 158. Предикативное причастие при глаголах

При некоторых глаголах причастия употребляются как именная часть сказуемого и переводятся на русский язык разными способами.

Глаголы τυγχάνω *случаться*, φθάνω *предупреждать, опережать*, λανθάνω *быть скрытым*, φαίνομαι или φανερός εἰμι

являться, быть ясным, χαίρω, ἥδομαι *радоваться*, διάγω, διατρίβω и т. п. *постоянно делать* – переводятся наречными выражениями: τότε *тогда*, πρότερον *раньше*, λάθρᾳ *тайно*, φανερῶς *ясно*, ἀεί *всегда* и т. д., а причастия при них передаются личной формой глагола, например:

Κλέαρχος ἐτύγχανε τὰς τάξεις ἐπισκοπῶν *Клеарх тогда осматривал ряды* (досл.: *случился осматривающим...*);

οἱ Ἕλληνες φθάνουσιν ἐπὶ τῷ ἄκρῳ γενόμενοι τοὺς πολεμίους *греки раньше заняли вершины, чем неприятели* (досл.: *опередили, заняв...*);

τοῦτο οὕτω τρεφόμενον ἐλάνθανεν αὐτῷ τὸ στράτευμα *таким образом это войско скрытно содержалось для него* (досл.: *содержащееся скрывалось...*);

Κλέαρχος ἐπιορκῶν ἐφάνη *Клеарх явно нарушил клятву* (досл.: *явился нарушившим...*);

ἥδομαι ἀκούων σου φρονίμους λόγους *я с радостью слышу от тебя разумные речи* (досл.: *радуюсь, слыша*);

Κῦρος ἐλπίδας λέγων διῆγε *Кир постоянно обнадеживал* (досл.: *проводил время, обнадеживая*).

Наречными выражениями могут переводиться и сами причастия от глаголов ἄρχομαι *начинать*, τελευτάω *кончать*, πάρειμι *присутствовать*, οἶδα *знать* и др., например: ὅπερ ἀρχόμενος ἐγὼ ἔλεγον ταὐτὰ ταῦτα καὶ τελευτῶν λέγω *как я говорил в начале, так говорю и в конце* (досл.: *начиная, говорил... кончая, говорю*).

Причастия при глаголах со значением *переносить, уставать, начинать, прекращать, стыдиться, изобличать* и др. переводятся неопределенной формой глагола, например: αἰσχύνομαι ταῦτα λέγων *я стыжусь говорить это*; ὁ ῥήτωρ ἐπαύσατο λέγων *оратор перестал говорить*; ῥαδίως ἐλεγχθήσεται ψευδόμενος *он легко будет изобличен во лжи* (здесь причастие удобно перевести дополнением).

К предикативному причастию относится и оборот accusativus cum participio.

§ 159. *Согласованное причастие в обстоятельственном значении (participium coniunctum)*

Причастие, согласованное с подлежащим или дополнением и не имеющее предшествующего артикля (participium coniunctum), выражает различные обстоятельства:

а) времени: οἱ Πέρσαι διαβάντες τὸν ποταμὸν ἐπορεύοντο τρεῖς σταθμοὺς *персы, переправившись через реку (= когда переправились), сделали три перехода*;

б) причины: οἱ στρατηγοὶ εἰς λόγους ἦλθον πιστεύσαντες ταῖς σπονδαῖς *полководцы вступили в переговоры, поверив (= т. к. поверили) перемирию*;

г) уступки: οὗτος οἴεταί τι εἰδέναι οὐκ εἰδώς *ничего не зная (= хотя не знает), он воображает, что нечто знает*;

д) образа (средства) действия: εἰσί τινες τῶν Χαλδαίων, οἳ λῃζόμενοι ζῶσιν *среди халдеев есть некоторые, которые живут грабежом* (досл.: *грабя*);

е) условия: οὐκ ἂν δύναιο μὴ καμὼν εὐδαιμονεῖν *не трудясь (= если не трудишься), ты не мог бы быть счастливым*;

ж) цели (ср. § 118): οἱ Ἀθηναῖοι θεοπρόπους ἔπεμψαν εἰς Δελφοὺς μαντευσομένους *афиняне отправили в Дельфы послов, которым предстояло вопросить оракула (= чтобы вопросить)*.

Видом согласованного причастия является оборот Genetivus absolutus (§ 46).

Παύλου πρὸς Κορινθίους περὶ τῆς ἀγάπης

Ἐὰν ταῖς γλώσσαις τῶν ἀνθρώπων λαλῶ καὶ τῶν ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν ἢ κύμβαλον ἀλαλάζον. Καὶ ἐὰν ἔχω προφητείαν καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, κἂν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάναι, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι. Κἂν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου, ἵνα καυθήσομαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύεται· ἡ ἀγάπη οὐ ζηλοῖ, ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακόν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ. Πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. Ἡ ἀγάπη οὐδέποτε πίπτει· εἴτε δὲ προφητεῖαι καταργηθήσονται· εἴτε γλῶσσαι παύσονται, εἴτε γνῶσις καταργηθήσεται.

Ἀλώπηξ καὶ βότρυς

Ἀλώπηξ λιμώττουσα, ὡς ἐθεάσατο ἐπ᾽ ἀναδενδράδος τινὸς βότρυς κρεμαμένους, ἐβουλήθη περιγενέσθαι αὐτοῦ καὶ οὐκ ἐδύνατο· ἀπαλλατομένη δὲ πρὸς ἑαυτὴν εἶπεν· «Ὄμφακές εἰσιν».

Οὕτω καὶ τῶν ἀνθρώπων ἔνιοι, τῶν πραγμάτων ἀφικέσθαι μὴ δυνάμενοι δι᾽ ἀσθένειαν, τοὺς καιροὺς αἰτιῶνται (Aesop.).

Ἀπόλλων καὶ Μαρσύας

Ἀπέκτεινεν Ἀπόλλων καὶ τὸν Ὀλύμπου παῖδα Μαρσύαν. Οὗτος γὰρ ἦλθεν εἰς ἔριν περὶ τῆς μουσικῆς τέχνης τῷ Ἀπόλλωνι. Εὑρεθεὶς δὲ κρείσσων ὁ Ἀπόλλων, κρεμάσας τὸν Μαρσύαν ἔκ τινος ὑπερτενοῦς πίτυος, ἐκτεμὼν τὸ δέρμα οὕτως αὐτὸν διέφθειρεν.

1. Ἐν Ἀθήναις οἱ ἔφηβοι ὤμνυσαν μήτε τὰ ἱερὰ ὅπλα καταισχυνεῖν μήτε τὴν τάξιν λείψειν, ἀμυνεῖν δὲ τῇ πατρίδι καὶ ἀμείνω παραδώσειν τοῖς παισίν. 2. Εἰ μὴ φυλάσσεις μικρ᾽ ἀπολεῖς τὰ μείζονα. 3. Οἱ Ἕλληνες τὸν οἶνον ἐκεράννυσαν· ἄκρατος μὲν γὰρ ὀξὺς ἐφαίνετο εἶναι, κραθεὶς δὲ ἡδύς. 4. Ὄρος ὄρει οὐ μείγνυται, ἄνθρωπος δ᾽ ἀνθρώπῳ. 5. Ἐν Χαιρωνείᾳ ἐδείκνυτο παλαιὰ δρῦς Ἀλεξάνδρου καλουμένη. 6. Ὑπὸ Ἰάσονος οἱ χαλκόποδες ταῦροι ἐζύγησαν. 7. Ἐν Ἰλίῳ θύοντι τῷ Ἀλεξάνδρῳ ἔφη ὁ ἱερεὺς δείξειν τὴν Πάριδος λύραν, ὁ δέ· «Τὴν Ἀχιλλέως, — ἔφη, — εἰ ἔχεις, δεῖξον». 8. Οὐ ῥᾴδιόν ἐστι τῶν ἀθυμούντων φόβον κατασβέσαι λόγοις. 9. Οἱ ἀμφὶ Λεωνίδαν Ἕλληνες δοράτων κατεαγότων τοῖς ξίφεσι κατέκοπτον τοὺς Πέρσας. 10. Ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπόλλυται. 11. Πλάτων γράφει· «Ἡ μάθησις οὐκ ἄλλο τι ἢ ἀνάμνησις τυγχάνει οὖσα». 12. Λάθε βιώσας. 13. Ὁ δοῦλος ἔλαθε τὸν δεσπότην ἀποδράς. 14. Ἀθηναῖοι ἔφθησαν ἀφικόμενοι πρὶν ἢ τοὺς βαρβάρους ἥκειν. 15. Σωκράτης λέγει· «Ἡ ψυχὴ ἀθάνατος φαίνεται οὖσα». 16. Οἱ Ἕλληνες ἑπτὰ ἡμέρας μαχόμενοι διετέλουν. 17. Νόμος τις ἦν τῶν Ἀθηναίων· ὅστις ἂν ἐλαίαν ἐξορύξας φανθῇ, διακοσίαις δραχμαῖς ζημιωθήσεται. 18. Οὐ πρότερον οἱ Ἀθηναῖοι ἐπαύσαντο ἐν ὀργῇ ἔχοντες Περικλέα, πρὶν ἐζημίωσαν χρήμασιν. 19. Ὡς μέγα τὸ μικρὸν ἐν καιρῷ δοθέν. 20. Μέμνησο νέος ὤν, ὡς γέρων ἔσῃ ποτέ. 21. Οἱ στρατιῶται τὴν πόλιν καθελόντες εἰς τὸ στρατόπεδον ἀνεχώρησαν. 22. Ἀρταξέρξης συλλαμβάνει Κῦρον, ὡς ἀποκτενῶν. 23. Ταύτην τὴν χώραν ἐπέτρεψε Κῦρος διαρπάσαι τοῖς Ἕλλησιν, ὡς πολεμίαν οὖσαν. 24. Συμβουλεύω σοι, καίπερ νεώτερος ὤν.

Упражнения. Проспрягать в презенсной системе глагол ὄμνυμι. Просклонять причастие δεικνύς, -σα, -ύν. Определить глаголы и формы их: ἀπόλλυμεν, ἀπώλλυμεν, κατάξαν, ἠμφίεσας, μιχθῆναι.

Занятие 38

§ 160. Недостаточные глаголы II спряжения (verba defectiva)

Некоторые глаголы атематического спряжения (в том числе глагол εἰμί *быть*, – § 125) не имеют всех форм и поэтому называются недостаточными.

а) φημί *говорить, утверждать* (основа φη/φα).

	Indicativus Praesens	Indicativus Imperfectum	Coniunctivus	Optativus	Imperativus
S. 1.	φη-μί	ἔ-φη-ν	φῶ	φα-ίη-ν	
2.	φή-ς (φῄς)	ἔ-φη-σθα	φῇς	φα-ίη-ς	φά-θι
3.	φη-σί(ν)	ἔ-φη	φῇ	φα-ίη	φά-τω
Pl.1.	φα-μέν	ἔ-φα-μεν	φῶ-μὲν	φα-ῖ-μεν	
2.	φα-τέ	ἔ-φα-τε	φῆ-τε	φα-ῖ-τε	φά-τε
3.	φα-σί(ν)	ἔ-φα-σαν	φῶ-σι(ν)	φα-ῖ-εν	φά-ντων

Infinitivus φά-ναι Participium φάς, φᾶσα, φάν (gen. φάντος)
φάσκων, φάσκουσα, φάσκον

Во мн. числе оптатива бывают формы: φαίημεν, φαίητε, φαίησαν.

Indicativus futuri φή-σ-ω. Indicativus aoristi ἔ-φη-σα.

Все двусложные формы презенсного индикатива – энклитики. Формы конъюнктива и оптатива образуются по 1-му спряжению. Имперфект и инфинитив имеют также значение аориста.

б) εἶμι *идти, пойти* (основа ει/ι).

В презенсном индикативе данный глагол имеет значение *пойду* (будущее время), дополняя таким образом глагол VIII класса ἔρχομαι.

Indicativus

	Praesens	Imperfectum	Coniunctivus	Optativus	Imperativus
S. 1.	εἶ-μι	ᾖ-α	ἴ-ω	ἴ-οι-μι	
2.	εἶ	ᾔ-εισθα	ἴ-η-ς	ἴ-οι-ς	ἴ-θι
3.	εἶ-σι(ν)	ᾔ-ει(ν)	ἴ-η	ἴ-οι	ἴ-τω
Pl.1.	ἴ-μεν	ᾖ-μεν	ἴ-ω-μεν	ἴ-οι-μεν	
2.	ἴ-τε	ᾖ-τε	ἴ-η-τε	ἴ-οι-τε	ἴ-τε
3.	ἴ-ασι(ν)	ᾖ-σαν	ἴ-ω-σι(ν)	ἴ-οι-εν	ἰ-ό-ντων

Infinitivus ἰ-έναι Participium ἰ-ών, ἰ-οῦσα, ἰ-όν (gen. ἰόντος)

В глаголах, сложных с εἶμι, ударение в презенсном индикативе и императиве находится на приставке. Поскольку то же явление наблюдается и в глаголах, сложных с εἰμί (§ 125), то формы 1-го л. ед. числа приставочных εἰμί и εἶμι совпадают и для различения этих глаголов необходимо знать инфинитив, который обычно и приводится в словарях: πρόσειμι· προσεῖναι *присутствовать*, προσιέναι *подходить*.

Глагол εἶμι имеет параллельные формы в имперфекте: ᾔειν, ᾔεις, ᾔεσαν, в оптативе: ἰοίην, в императиве: ἴτωσαν. Отглагольное прилагательное ἰ-τέον или ἰ-τητέον.

в) χρή *нужно, должно, следует*.

χρή – это существительное (*нужда*), которое сливается с формами глагола εἰμί, становясь безличным глаголом:

Indicativus

	Praesens	Imperfectum	Coniunctivus	Optativus	Infinitivus
S. 3.	χρή (ἐστι)	ἐχρῆν, χρῆν	χρῇ	χρείη	χρῆναι

Participium χρεών Indicativus futuri χρῆσται

г) κάθημαι (κατα-ῆμαι) *сидеть* (основа ἡ(σ))

Indicativus

	Praesens	Imperfectum		Imperativus	Infinitivus
S. 1.	κάθη-μαι	ἐ-καθή-μην	(καθή-μην)		καθῆ-σθαι
2.	κάθη-σαι	ἐ-κάθη-σο	(καθῆ-σο)	κάθη-σο	
3.	κάθη-ται	ἐ-κάθη-το	(καθῆ-το)	καθή-σθω	Participium
Pl.1.	καθή-μεθα	ἐ-καθή-μεθα	(καθή-μεθα)		καθή-μενος
2.	κάθη-σθε	ἐ-κάθη-σθε	(καθῆ-σθε)	κάθη-σθε	καθη-μένη
3.	κάθη-νται	ἐ-κάθη-ντο	(καθῆντο)	καθή-σθων	καθή-μενον

Формы конъюнктива (καθῶμαι и т. д.) и оптатива (καθοίμην или καθῄμην и т. д.) встречаются редко. Недостающие времена данного глагола восполняются соответствующими формами глаголов καθέζομαι и καθίζομαι *садиться, сидеть.*

д) κεῖμαι *лежать* (основа κει).

	Indicativus Praesens	Indicativus Imperfectum	Imperativus	Infinitivus	Indicativus futuri
S. 1.	κεῖ-μαι	ἐ-κεί-μην		κεῖ-σθαι	κεί-σ-ο-μαι
2.	κεῖ-σαι	ἔ-κει-σο	κεῖ-σο		κεί-σ-ει (-ῃ)
3.	κεῖ-ται	ἔ-κει-το	κεί-σθω	Participium	κεί-σ-ε-ται
Pl. 1.	κεί-μεθα	ἐ-κεί-μεθα		κεί-μενος	κει-σ-ό-μεθα
2.	κεῖ-σθε	ἔ-κει-σθε	κεῖ-σθε	κει-μένη	κεί-σ-ε-σθε
3.	κεῖ-νται	ἔ-κει-ντο	κεί-σθων	κεί-μενον	κεί-σ-ο-νται

Данный глагол употребляется как перфект и плюсквамперфект к глаголу τίθημι.

Встречаются отдельные формы конъюнктива: κέηται, κέησθε, κέωνται и оптатива: κέοιτο, κέοιντο.

Приставка в этом глаголе в индикативе и императиве несет на себе ударение, например: ἀνάκειμαι *быть возложенным*, ἀνάκεισο.

§ 161. Dativus absolutus

Абсолютные причастные обороты могут быть не только в генетиве. Функцию обстоятельства времени выражает и абсолютный датив, например: ἦν ἡμέρα πέμπτη ἐπιπλέουσι τοῖς Ἀθηναίοις *был пятый день, когда приплыли афиняне* (ср. dativus iudicantis, § 89).

§ 162. Accusativus absolutus

Причастия безличных глаголов, употребленные в аккузативе и грамматически не зависящие ни от какого члена предложения, могут заключать в себе оттенки времени, причины, уступки, условия:

когда, так как, хотя, если

позволено	ὄν, ἐξόν, *παρόν*
нужно	δέον, χρεών,

решено	δόξαν, δεδογμένον,
возможно	δυνατὸν ὄν, οἷόν τε ὄν,
приказано	προσταχθέν,
прилично	προσῆκον,
невозможно	ἀδύνατον ὄν,
позорно	αἰσχρὸν ὄν,
справедливо	δίκαιον ὄν.

Например: οὐχί σε ἐσώσαμεν οἷόν τε ὂν καὶ δυνατόν *мы не спасли тебя, хотя это было вполне возможно.*

Причастия от личных глаголов в абсолютном аккузативе с ὡς и ὥσπερ выражают причину в субъективной оценке, например: Σωκράτης εὔχετο πρὸς τοὺς θεοὺς ἁπλῶς τἀγαθὰ διδόναι, ὡς τοὺς θεοὺς κάλλιστα εἰδότας, ὁποῖα ἀγαθά ἐστιν *Сократ просто молил богов даровать блага, так как (по его мнению) боги прекрасно знают, что составляет благо.*

§ 163. Infinitivus absolutus

Инфинитив с артиклем и без него, а также в сочетании с разными словами может выражать целое суждение, грамматически не связанное с другими членами предложения. Часто в этом случае инфинитиву предшествует частица ὡς. Такой инфинитив называется независимым; логически он примыкает к infinitivus relationis (§ 55).

Наиболее часто встречаются такие выражения:

ὡς (ἔπος) εἰπεῖν	*так сказать,*
ὡς συνελόντι, ἐν βραχεῖ εἰπεῖν	*чтобы сказать (говоря) вкратце,*
ὡς τὸ ὅλον, ἁπλῶς εἰπεῖν	*говоря вообще, одним словом,*
ὀλίγου (μικροῦ) δεῖν	*чуть было,*
ὡς ἐμοὶ δοκεῖν	*как мне кажется* и т. п.

Например: ἀληθές, ὡς ἔπος εἰπεῖν, οὐδὲν εἰρήκασιν *правды они, собственно говоря, так и не сказали.*

Περὶ Διογένους

Διογένης, ὁ Σινωπεύς, ὁ κύων καλούμενος, διέτριβε πολὺν χρόνον ἐν Ἀθήναις· περιῄει δ᾿ ἐν ἀγορᾷ καὶ ἐν ἀγυιαῖς ἔχων βακτηρίαν καὶ τρίβωνα περιθέμενος· ὀνειδίζοντος δέ τινος, ὅτι ἐν ἀγορᾷ ἠρίστησεν, «ἐν ἀγορᾷ γάρ, — ἔφη, — καὶ ἐπείνησα». Λύχνον δὲ μεθ᾿ ἡμέραν ἅψας

καὶ ἐν ἀγυιαῖς περιιὼν «ἄνθρωπον, — ἔφη, — ζητῶ». Ἀνθρώπου τινὸς κακοῦ ἐπιγράψαντος τῇ ἑαυτοῦ οἰκίᾳ· «Μηδὲν εἰσίτω κακόν·» «ὁ οὖν δεσπότης τῆς οἰκίας, — ἔφη, — ποῦ ἂν εἰσίοι;» Ὁ αὐτὸς ἐπανῄει ποτὲ ἐκ Λακεδαίμονος εἰς Ἀθήνας καὶ πρὸς τὸν ἐρωτήσαντα· «Ποῖ καὶ πόθεν;» «ἐκ τῆς ἀνδρωνίτιδος, — ἔφη, — εἰς τὴν γυναικωνῖτιν». Ἐρωτηθεὶς δέ, ποῦ τῆς Ἑλλάδος εἶεν ἀγαθοὶ ἄνδρες· «Ἄνδρες μέν, — ἔφη, — οὐδαμοῦ, παῖδες δ' ἐν Λακεδαίμονι». Τῷ μύρῳ τοὺς πόδας ἀλειψάμενος ἔφη ἀπὸ μὲν τῆς κεφαλῆς εἰς τὸν ἀέρα ἀπιέναι τὸ μύρον, ἀπὸ δὲ τῶν ποδῶν εἰς τὴν ὄσφρησιν.

Περὶ τοῦ Διὸς ἀγάλματος τοῦ ἐν τῇ Ὀλυμπίᾳ

Ἐν τῇ Ὀλυμπίᾳ πολλὰ μὲν ἀναθήματα ἀνέκειτο ἐκ πάσης τῆς Ἑλλάδος· ἐνδοξότατον δὲ πάντων ἦν τὸ Διὸς ἄγαλμα, ὃ εἴργαστο Φειδίας ὁ Ἀθηναῖος. Ἐκάθητο μὲν δὴ θεὸς ἐν θρόνῳ ἐκ χρυσοῦ πεποιημένος καὶ ἐλέφαντος, στέφανος δὲ ἐπέκειτο αὐτοῦ τῇ κεφαλῇ. Ἐν μὲν δεξιᾷ ἔφερε Νίκην ἐλεφαντίνην τε καὶ χρυσῆν, τῇ δ' ἀριστερᾷ τοῦ θεοῦ χειρὶ ἐνῆν σκῆπτρον· ὁ δ' ὄρνις ὁ ἐπὶ τῷ σκήπτρῳ καθήμενος ἦν ὁ ἀετός.

Ἀστρολόγος

Ἀστρολόγος ἐξιὼν ἑκάστοτε ἑσπέρας ἔθος εἶχε τοὺς ἀστέρας ἐπισκοπεῖσθαι. Καὶ δήποτε περιιὼν εἰς τὸ προάστειον καὶ τὸν νοῦν ὅλον ἔχων πρὸς τὸν οὐρανὸν ἔλαθε καταπεσὼν εἰς φρέαρ. Ὀδυρομένου δὲ αὐτοῦ καὶ βοῶντος παριών τις ὡς ἤκουσε τῶν στεναγμῶν, προσελθὼν καὶ μαθὼν τὰ συμβεβηκότα ἔφη πρὸς αὐτόν· «Ὦ οὗτος, σὺ τὰ ἐν οὐρανῷ βλέπειν πειρώμενος τὰ ἐπὶ τῆς γῆς οὐχ ὁρᾷς.»

Τούτῳ τῷ λόγῳ χρήσαιτο ἄν τις πρὸς ἐκείνους τῶν ἀνθρώπων, οἳ παραδόξως ἀλαζονεύοντες οὐδὲ τὰ κοινὰ τοῖς ἀνθρώποις ἐπιτελεῖν δύνανται. (Aesop.).

1. Ἔστιν, ὥς φαμεν, ὁ φίλος ἕτερος ἐγώ. 2. Καὶ ἃ πρότερον ἔφησθα, καὶ ἃ νῦν φῄς, φλυαρία ἐστίν. 3. Ἐγὼ Ἀθηναίους, ὥσπερ καὶ οἱ ἄλλοι Ἕλληνες, φημὶ σοφοὺς εἶναι. 4. Πάντων ἥδιστον ὀρθῶς ἂν φαῖμεν εἶναι τὴν φιλίαν· διὸ καὶ τὸν φίλον φασὶ πυρὸς καὶ ὕδατος ἀναγκαιότερον. 5. Ὅποι ἂν ἡμᾶς οἱ πόδες φέρωσιν, ἐκεῖσε ἄπιμεν. 6. Λάκαινά τις τῷ υἱῷ προϊόντι ἐπὶ πόλεμον ἀναδιδοῦσα τὴν ἀσπίδα· «Ταύτην, — ἔφη, — ὁ πατήρ σοι ἀεὶ ἔσωζε, καὶ σὺ οὖν ταύτην σῶζε, ἢ μὴ ἐπάνιθι». 7. Οἱ Λυσιτανοὶ παιᾶνας ᾄδουσιν, ὅταν ἐν μάχῃ ἐπίωσι

τοῖς ἀντιτεταγμένοις. 8. Ἔγωγε μετὰ φίλου ἑταίρου κἂν διὰ πυρὸς ἴοιμι. 9. Ὁ Κέρβερος ἥμερος ἦν, εἴ τις Ἅιδου εἰσίοι, ἐξιέναι δ' οὐδένα εἴα. 10. Κῦρος τοῖς τῶν Ἑλλήνων στρατηγοῖς ἔλεξεν, ὅτι ἡ ὁδὸς ἔσοιτο πρὸς βασιλέα μέγαν εἰς Βαβυλῶνα. 11. Ὡς τὰ ἴχνη φέρει, οὕτως ἰτέον. 12. Χαίρειν ἐπ' αἰσχραῖς ἡδοναῖς οὐ χρή ποτε. 13. Οἱ Ἕλληνες οἱ παλαιοὶ δειπνοῦντες οὐκ ἐκάθηντο, ἀλλὰ ἔκειντο. 14. Βραχεῖ λόγῳ καὶ πολλὰ πρόσκειται σοφά. 15. Μὴ φεῦγ' ἑταῖρον ἐν κακοῖσι (=κακοῖς) κείμενον. 16. Κατακείμεθα ὥσπερ ἐξὸν ἡσυχίαν ἄγειν. 17. Χάρων ὁ τῶν Θουρίων νομοθέτης προσέταξε τοὺς λείποντας τὴν τάξιν ἐν τῇ ἀγορᾷ ἡμέρας τρεῖς καθῆσθαι ἐν ἐσθῆτι γυναικείᾳ. 18. Ξενοφῶντι διὰ τῆς μεσογείας πορευομένῳ οἱ ἱππεῖς καταθέοντες ἐντυγχάνουσι πρεσβύταις. 19. Δόξαν ἡμῖν ταῦτα ἐπορευόμεθα. 20. Οἱ Συρακούσιοι κραυγῇ οὐκ ὀλίγῃ ἐχρῶντο ἀδύνατον ὂν ἐν νυκτὶ ἄλλῳ τῳ σημῆναι. 21. Οἱ Ἀθηναῖοι τὸν πάρα Ξέρξου πρεσβευτήν, ὅτι γῆν καὶ ὕδωρ ᾔτησεν, ὀλίγου δεῖν κατέλυσαν. 22. Ἄνευ ἀρχόντων οὐδὲν ἂν οὔτε καλὸν οὔτε ἀγαθὸν γένοιτο, ὡς μὲν συνελόντι εἰπεῖν, οὐδαμοῦ, ἐν δὲ δὴ τοῖς πολεμικοῖς παντάπασιν. 23. Τὸ τὰς ἰδίας εὐεργεσίας ὑπομιμνήσκειν καὶ λέγειν μικροῦ δεῖν ὅμοιόν ἐστι τῷ ὀνειδίζειν.

Упражнения. Определить глаголы и их формы: *παρίεσαν, παρεῖσαν* (2); *ᾖσαν* (3), *ἦσαν, ᾔεσαν; παριόντι, παριέντι; παρείμην, παρεῖμεν* (по 3); *παρῇ, παρῇ* (3); *παριέναι* (2); *εἰσεῖσθε* (4), *εἴσεσθε* (2).

ГРАММАТИЧЕСКИЙ СПРАВОЧНИК

(Цифры обозначают параграфы грамматической части учебника)

Письмо

Алфавит (§ 1). Буквенные обозначения чисел (§ 75). Обозначение мер в надписях (Приложение 3). Надстрочные знаки (§ 6). Знаки препинания (§ 9).

Фонетика

Произношение гласных и дифтонгов (§ 2). Классификация согласных и их произношение (§ 3). Придыхание (§ 4).

Особенности Рейхлиновой системы произношения

β произносится как «в»: βάρβαρος [вáрварос] *чужеземец*;

π озвончается в «б» после μ, ν: ἄμπελος [áмбелос] *виноградник*, ἐν Πελοποννήσῳ [эн Белопонни́со] *в Пелопоннесе*;

κ озвончается в «г» после γ и ν: ἄγκυρα [áнгира] *якорь*;

τ озвончается в «д» после ν: ἀντί [анди́] *вместо*;

θ произносится как «ф»: θεός [феóс] *бог*;

η произносится как «и»: ἦθος [и́фос] *нрав*;

υ произносится как «и»: Ὄλυμπος [Óлимбос] *Олимп*;

αι произносится как «э»: Καῖσαρ [Кэ́сар] *Цезарь*;

ἡ ἀγορά *собрание* (ἀγείρω *собирать*), ἡ φυγή *бегство* (φεύγω *бежать*), ἡ παιδεία *воспитание* (παιδεύω *воспитывать*), ἡ δοκιμασία *испытание* (δοκιμάζω *испытывать*), ὁ φόρος *дань* (φέρω-φορέω *носить*), ὁ σεισμός *землетрясение* (σείω *трясти*), ἡ ἄσκησις *упражнение* (ἀσκέω *упражнять*), ἡ μίμησις *подражание* (μιμέομαι *подражать*);

в) следствие, результат действия:

-ρα, -λη, -μη, -νη, -λον, -ρος, -νος, -μα(τ), -ος(-ες).

ἡ ἕδρα *седалище* (ἕζομαι *садиться*), ἡ στήλη *столб* (ἵστημι *ставить*), ἡ ἐπιστήμη *знание* (ἐπίσταμαι *знать*), ἡ τέχνη *искусство* (τεκταίνομαι *строить*), τὸ φῦλον *племя* (φύω *рождать*), τάφρος *ров* (θάπτω *погребать*), ὁ στέφανος *венок* (στέφω *окружать*), τὸ κτῆμα *приобретение* (κτάομαι *приобретать*), τὸ γένος *род* (γίγνομαι *происходить*);

г) орудие, средство действия:

-τρον, -θρον.

τὸ ἄροτρον *плуг* (ἀρόω *пахать*), τὸ κλεῖθρον *замок* (κλείω *запирать*);

д) место:

-τρα, -τήριον, -(ε)σιον, -ειον, -θρον (-τρον), -ών.

ἡ ὀρχήστρα *орхестра* (ὀρχέομαι *плясать*), τὸ δικαστήριον *судилище* (δικάζω *судить*), τὸ γυμνάσιον *гимнасий* (γυμνάζω *упражнять*), τὸ Μουσεῖον *мусейон* (Μοῦσα *Муза*), τὸ θέατρον *театр* (θεάομαι *смотреть*), ὁ οἰνών *винный склад* (οἶνος *вино*);

е) качество, свойство:

-ια, -σύνη, -της, -ος(ες).

ἡ ἀδικία *несправедливость* (ἄδικος *несправедливый*), ἡ σωφροσύνη *благоразумие* (σώφρων *благоразумный*), ἡ ταχύτης *быстрота* (ταχύς *быстрый*), τὸ βάθος *глубина* (βαθύς *глубокий*);

ж) уменьшительность:

-ίσκη, -ίσκος, -ιον, -ίδιον, -άριον, -ύδριον, -ύλλιον

ἡ παιδίσκη (παῖς) *девочка*, ὁ στεφανίσκος (στέφανος) *веночек*, τὸ κήπιον (κῆπος) *садик*, τὸ οἰκίδιον (οἶκος) *домик*, τὸ παιδάριον (παῖς) *малютка*, τὸ μελύδριον (μέλος) *песенка*, τὸ εἰδύλλιον (εἶδος) *картинка, видик*;

з) происхождение по отцу:

-δης, -ις, -ας, -ιων

Αἰνειάδης *сын Энея*, Κεκροπίς *дочь Кекропа*, Βορεάς *дочь Борея*, Πηλείων *сын Пелея*;

и) принадлежность к стране:

-ιος, -ανός, -ίνος, -της, -ις, -τις, -ας, -εύς

ὁ Θηβαῖος (Θῆβαι) *фивянин*, ὁ Σαρδιανός (Σάρδεις) *сардианец*, ὁ Ταραντῖνος (Τάρας) *тарентинец*, ὁ Αἰγινήτης (Αἴγινα) *эгинец*, Σικελιῶτις (Σικελία) *сицилийка*, Δηλιάς (Δῆλος) *делоска*, Μεγαρεύς (Μέγαρα) *мегарец*.

Суффиксы прилагательных

а) отношение или принадлежность в общем смысле: -ιος.

οὐράνιος *небесный* (οὐρανός *небо*);

б) способность, свойство: -κος.

πολεμικός *воинственный* (πόλεμος *война*);

в) вещество: -ινος, -έος.

λίθινος *каменный* (λίθος *камень*), χρυσέος *золотой* (χρυσός *золото*);

г) время: -ινός.

νυκτερινός *ночной* (νύξ *ночь*);

д) склонность: -μων.

μνήμων *памятливый* (μνήμη *память*);

е) изобилие: -εις.

ὑλήεις *лесистый* (ὕλη *лес*).

Суффиксы наречий

а) наречия, произведенные от прилагательных при помощи суффиксов: -ως, -τερον, -τατα, -ιον, -ιστα (см. § 74);

б) соотносительные наречия, произведенные от местоимений (см. стр. 207);

в) падежные формы в роли наречий (см. §§ 54, 74, 94);

г) суффиксальные наречия места (§ 74);

д) наречия, произведенные от числительных при помощи суффикса -κις. (§ 78);

е) суффиксальные наречия, произведенные от основ существительных и глаголов: -δον, -δην, -τι, -ει.

ἀγεληδόν *стадно* (ἀγέλη *стадо*), κρύβδην *скрытно* (κρύπτω *скрывать*), ὀνομαστί *поименно* (ὀνομάζω *называть*), ἀμαχεί *без боя* (μάχη *бой*).

Отыменное образование глаголов

-άω:	νικάω	*побеждать* от νίκη *победа*
-έω:	κοσμέω	*украшать* от κόσμος *украшение*
-όω:	δηλόω	*обнаруживать* от δῆλος *явный*
-εύω:	βασιλεύω	*царствовать* от βασιλεύς *царь*
-άζω:	ἐργάζομαι	*трудиться* от ἔργον *труд*
-ίζω:	ἐλπίζω	*надеяться* от ἐλπίς *надежда*
-αίνω:	χαλεπαίνω	*негодовать* от χαλεπός *трудный*
-ύνω:	ἡδύνω	*услаждать* от ἡδύς *приятный*
-αίρω:	τεκμαίρομαι	*обозначать* от τέκμαρ *знак*
-έλλω:	ἀγγέλλω	*возвещать* от ἄγγελος *вестник*
-ττω:	κηρύττω	*объявлять* от κῆρυξ *глашатай*

Префиксы

а) предлоги (см. стр. 208) в качестве приставок:

ἀντιτίθημι	*противополагать*	κατατίθημι	*слагать*
ἀποτίθημι	*откладывать*	μετατίθημι	*перекладывать*
ἐκτίθημι	*выкладывать*	ὑπερτίθημι	*класть над*
προτίθημι	*класть впереди*	ἐπιτίθημι	*накладывать*
ἐντίθημι	*вкладывать*	παρατίθημι	*класть рядом*
συντίθημι	*складывать*	περιτίθημι	*облагать, окружать*
ἀνατίθημι	*налагать*	προστίθημι	*прилагать*
εἰστίθημι	*вкладывать*	ὑποτίθημι	*подкладывать*
διατίθημι	*раскладывать*	ἀμφιτίθημι	*одевать*

б) самостоятельно не существующие частицы в роли предлогов:

ἀ(ν)- *не*, ἀ- *со-*, ἀρι- *пре-*, δυσ- *без-*, *не-*,

ἡμι- *полу* , ὁμο- *со-*, *одно-*, περι- *пре-*.

ἀδικία *несправедливость*, ἄθρόος *собранный*, δυστυχία *несчастье*, ἡμιτάλαντον *полталанта*, περικαλλής *прекрасный*, ὁμόφυλος *соплеменник*.

Словосложение

Первым элементом при словосложении могут быть именные и глагольные основы и наречия. Соединительным гласным служит омикрон. Конечные α и ο первого элемента перед начальным гласным второго элемента выпадают.

Примеры: ἀκρό-πολις *акрополь*, δορυ-φόρος *копьеносец*, μόν-αρχος *монарх*, παν-νύχιος *всенощный*, εὐ-γενής *благородный*, παλίν-τροπος *обращенный назад*.

В сложных словах ударение обычно бывает возможно дальше от конца, например: σοφός *мудрый*, φιλόσοφος *философ*.

Однако в некоторых словах при сложении ударение остается на том слоге, на каком оно было в простых словах, например: γραφεύς *писец*, συγγραφεύς *писатель*.

Отглагольные имена активного значения на -ος имеют ударение на предпоследнем слоге, если он краткий, например: δορυφόρος *копьеносец*, но παιδαγωγός *воспитатель*.

Стихосложение

Древнегреческое стихосложение метрическое, оно основано на закономерном чередовании долгих и кратких слогов, которые при современном чтении условно передаются как ударные и безударные.

Стихотворное ударение часто не совпадает с грамматическим; в одном слове могут быть два равноценных ритмических ударения.

Рифмы в греческих стихах античного периода не существовало.

Чтобы избежать «зияния», т. е. встречи гласных на стыке двух слов, применялось усечение гласного – элизия, знак которой апостроф. Начальная элизия – афересис, например: ἤ'γω (вм. ἢ ἐγώ). Конечная элизия – апокопе, например: μύρι' Ἀχαιοῖς (вм. μύρια Ἀχαιοῖς).

В некоторых случаях соседствующие в одном слове гласные для соблюдения размера при чтении сливаются в один слог, это называется синицесис, например: Πηληϊάδεω произносится Πηληϊάδω.

Как и в прозе, если ι или υ не составляют с предыдущим гласным дифтонга, над ними ставится знак раздельного произношения (так называемой диэрезы) – две точки (стр. 12), например: Πηληϊάδεω. Как и в прозе, в стихах бывает красис (стр. 25, 171), например: κοὐδέν (вм. καὶ οὐδέν).

Первичной ритмической единицей является «мора», т. е. время, необходимое для произнесения одного краткого слога. Два кратких слога по длительности равны одному долгому. Трехморные стопы: ямб (⏑—), хорей, или трохей (—⏑); четырехморные стопы: дактиль (— ⏑ ⏑), анапест (⏑ ⏑ —); пятиморная стопа – кретик (— ⏑ —). Ямбу и хорею по количеству соответствует трибрах (⏑⏑⏑), а дактилю и анапесту – спондей (— —).

В стопе различается а́рсис – сильная, т. е. долгая часть, и тесис – слабая, т. е. краткая часть.

В одной стихотворной строке могут сочетаться различные виды стоп, даже разноизмеряемых.

Чтение стихов строго по стопам называется скандированием.

Остановка среди стопы, вызванная окончанием слова, называется цезурой; цезура после арсиса – мужская, после тесиса – женская.

а) шестистопный ямб:

⏒ –́ ⏒ –́ ⏒ –́ ⏒ –́ ⏒ –́ ⏒ –́

Γύμν<u>α</u>ζε π<u>αῖ</u>δας· <u>οὐ</u> γὰρ <u>ἄ</u>νδρα γ<u>υ</u>μνάσεις

б) шестистопный дактиль – гексаметр:

–́ ⏔ | –́ ⏔ | –́ ⏔ | –́ ⏔ | –́ ⏑⏑ | –́ ⏓

В любой стопе (редко – в пятой) дактиль может заменяться спондеем. Последняя стопа всегда двухсложная, причем последний слог может быть долгим или кратким. Цезура, мужская или женская, бывает обычно в третьей стопе; встречаются и две цезуры: во второй и четвертой стопах.

Μῆνιν ἄειδε, θεά, ‖ Πηληϊάδεω Ἀχιλῆος
Οὐλομένην, ἣ μύρι' ‖ Ἀχαιοῖς ἄλγε' ἔθηκεν (Hom. Il., 1, 1–2)

в) элегическое двустишье:

В элегиях и эпиграммах применяется сочетание гексаметра с пентаметром (пятистопным дактилем)

—́ ⏔ | —́ ⏔ | —́ ⏔ | —́ ⏔ | —́ ⏑⏑ | —́ ⏑
—́ ⏔ | —́ ⏔ | —́ ‖ —́ ⏑⏑ | —́ ⏑⏑ | —́

Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τῇδε
κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι (Sim.)

Гомеровский диалект

Гомеровский диалект в основе своей древнеионийский, но включает в себя и некоторые эолийские элементы.

Фонетика

1. η вместо α (даже после ε, ι, ρ): Τροίη, τριηκόσιοι, ἰδίη, Σκυθίη, βορέη, εὐνομίη, τριήκοντα, χώρη;

2. ει вместо ε: ξεῖνος, εἵνεκα, στεινός;

3. ου вместо ο: οὔνομα, μοῦνος, οὐλόμενος;

4. Слияние εο в ευ (а не в ου): ποιεύμενος, καλεύμενος, ἐποίευν;

5. Отсутствие слияния гласных: κοτέοντο, κοιρανέων, κερτομέων, ἀείδω (ᾄδω), βοόων , ἐών (ὤν), ἴσχεο, ἔειπον, ἔοργε, νόος, πλόον, σέο, ἕο, χρύσεος, νείκεε, ἀλέες;

6. Раздельное произнесение гласных, составляющих в аттическом диалекте дифтонги: Ἀΐδι, προϊάπτω, παΐς, γελόιος;

7. Тонкое придыхание вместо густого в некоторых словах: Ἀιδης (вместо Ἅιδης), ἠώς (вместо ἕως);

8. σσ вместо ττ; πράσσων;

Морфология имени

9. В I склонении окончание gen. pl. -άων/-έων: κλισιάων, ἀγοράων, θυσιέων, Σπαρτιατέων, Περσέων, ἡμερέων;

10. В I склонении окончание dat. pl. -ῃσ(ι): κλισίῃς, πληγῇσι, μαχαίρῃσι, Σπαρτιάτῃσι, μηχανῇσι, Σκύθῃσι;

11. В I склонении муж. р. окончание gen. sing. -εω: Πηληϊάδεω, ἀγκυλομήτεω;

12. Во II склонении окончание gen. sing. -οιο: Τηλεμάχοιο, πολυφλοίσβοιο;

13. Во II склонении окончание dat. pl. -οισι: οἰωνοῖσι, Ἀργείοισι, ὤμοισι, τοῖσι;

14. В прилагательном πολύς формы nom. sing. муж. р. πολλός, сред. р. πολλόν;

15. В III склонении окончание dat.pl. -εσσι(ν): κύνεσσιν, ἐπέεσσιν, ἀεικέσσι;

16. В III склонении у существительных на -εύς основа в gen., dat. и acc. sing. оканчивается на -η: βασιλῆος, Ἀχιλῆος, Ὀδυσῆι, Ἀχιλῆι, βασιλῆα, Ἀχιλῆα;

17. В III склонении у существительных на -ις окончание gen. sing. -ιος и -ηος: πόλιος и πόληος;

18. В III склонении у имен на -ος отсутствует слияние: διοτρεφέος, ἄλγεα, ἐλέγχεα, ἔπεα, ὀνείδεα;

19. Существительное III склонения ναῦς (νηῦς) склоняется так: νεός / νηός, νηΐ, νῆα, νῆες / νέες, νηῶν / νεῶν, νήεσσι / νηυσί, νῆας;

20. Существительное υἱός изменяется по II и III склонениям: pl. nom. υἷες, acc. υἷας;

21. Супплетивная сравнительная степень от ἀγαθός – φέρτερος, от κακός – χερειότερος;

22. Личные местоимения склоняются так: sing. gen. ἐμεῦ, σέο, σεῦ, ἕο, dat. τοί (σοί), acc. ἕ, μιν (=αὐτόν), pl. nom. ἄμμες (=ἡμεῖς), gen. σφέων, dat. σφίν, acc. σφέας;

23. Вопросительно-неопределенное местоимение в gen. sing. τέο, dat. τέῳ;

24. Местоимение ὅς, ἥ, ὅ является относительным и притяжательным;

25. Указательное местоимение κεῖνος вм. ἐκεῖνος.

Морфология глагола

26. У некоторых глаголов в окончании 2-го л. ед. чис. медиально-пассивного залога не происходит слияние: μίσγεαι, κατίσχεαι, ἐπιμέμφεαι, ἐπιδεύεαι;

27. В 3-м л. множ. чис. медио-пассивного перфекта и плюсквамперфекта встречаются окончания: -αται и -ατο;

28. В 3-м л. пассивного аориста окончание -ν вм. -σαν: ἐρήτυθεν;

29. Окончание активного инфинитива -μεν(αι)· ἐριζέμεναι, ἐπιβάσκεμεν, πέσσεμεν;

30. У глаголов в исторических временах может отсутствовать приращение: ἀπομόρξατο, γέλασσαν, δίεπε, ἔρξεν, ἕζοντο, κοτέοντο, πλῆξεν, τεῦχε, φάτο;

31. В основах, исторически начинавшихся с дигаммы, приращение сохранялось и поэтому получалось скопление гласных звуков:

ἔειπον (= ἐϝέϝεπον), ἔοργε (= ἔϝοργε);

32. В слитных глаголах на -άω альфа может ассимилироваться с последующим звуком «о»: ὁρόω;

33. У глагола εἰμί impf. ἔην, inf. ἔμμεναι, part. ἐών;

34. У глагола εἶμι impf. ἤισαν;

35. Глагол εἴδω дополняет в презенсе глаголы οἶδα и εἶδον; форма 1-го л. множ. чис. ind. perf. ἴδμεν (вм. ἴσμεν), 3-го л. един. чис. optat. εἴσαιτο.

Служебные части речи

36. Предлог ἐνί вм. ἐν;

37. Частица κε(ν) вм. ἄν.

Словообразование

38. Суффикс итеративного (участительного) значения -σκ-присоединяемый к основе при помощи соединительных гласных ε и α: ἐλάσασκε (ἐλαύνω), ὁμοκλήσασκε (ὁμοκλέω), ἐρητύσασκε (ἐρετύω), νεικείεσκε (νεικείω), εἴπεσκε (εἴπω);

39. Приставка может отделяться от глагола одним или несколькими словами (тмесис): ἔκ τοι ἐρέω вм. ἐξερέω (от ἐξεῖπον), ἀπὸ ... δύσω вм. ἀποδύσω;

40. Некоторые глаголы утрачивают приставку, обязательную в аттическом диалекте: ἧμαι вм. κάθημαι, ἱκνέομαι вм. ἀφικνέομαι.

Язык Геродота

Язык Геродота представляет собой смешение диалектов древнеионийского, или гомеровского, новоионийского и аттического.

а) α вместо ε, η: μέγαθος;

б) ε вместо α: τέσσερες;

в) ε вместо ει: ἐς, ἀπέργω;

г) ω вместо αυ, ου: ὦν (=οὖν);

д) η вместо ε: βασιλήιος, ἠώς, κατακληΐζω;

е) ωυ вместо αυ: ἑωυτοῦ;

ж) ι вместо ιε: ἱρός;

и) перемещение придыхания: ἐνθαῦτα, ἐνθεῦτεν;

к) отсутствие ассимиляции взрывных с гласными, имеющими густое придыхание: κατήκω (вм. καθήκω), κατ᾽ ἥν (вм. καθ᾽ ἥν), ἀπ᾽ οὗ (вм. ἀφ᾽ οὗ);

л) κ вместо χ в отдельных словах: δέκομαι;

м) κ вместо π в местоимениях, наречиях и союзах: κοῦ, κόσος;

н) в 3-м склонении у существительных на -εῦς окончание gen. sing. -ῆος;

о) в 3-м склонении у существительных на -ις звук ι удерживается во всех формах: πόλιος и т. д.

п) в глагольных корнях вместо сочетания γν может писаться ν: γίνομαι, γινώσκω;

р) числительное «четыре» имеет форму не только τέσσερες, но и τέσαρες.

Диалект койне

В основе диалекта койне лежит аттический диалект.

Фонетика

1. Редкое применение элизии, красиса, ассимиляции и диссимиляции;

2. Распространенность приставного ν: μήν вм. μή, ἑώρακαν вм. ἑώρακα.

Морфология имени

3. Исчезновение двойственного числа;

4. Замена звательного падежа именительным;

5. Взаимопроникновение форм I и III склонений: τὸ νῖκος вм. ἡ νίκη;

6. Преобладание в acc. sing. III скл. окончания -α;

7. Употребление сравнительной степени вместо превосходной;

8. Двойной способ образования сравнительной ст.: μειζότερος наряду с μείζων;

9. Употребление возвратного местоимения ἑαυτοῦ в 1-м и 2-м л.

10. Употребление числительного εἷς в качестве неопределенного местоимения.

Морфология глагола

11. Проникновение форм I-го спряж. в глаголы II спряж.

12. Взаимопроникновение форм слитных глаголов на -άω и -έω;

13. Исчезновение медиального залога;

14. Употребление конъюнктива вместо императива;

15. Употребление кратких гласных в конъюнктиве;

16. Частое отбрасывание приращения в исторических временах;

17. Редкое употребление оптатива;

18. Употребление II пассивного аориста вместо I;

19. Употребление I активного аориста вместо II;

20. Проникновение форм I аориста во II аорист: εἶπα;

21. Вытеснение перфекта аористом;

22. Употребление аналитической конструкции: ἔχω + инфинитив.

Служебные части речи

23. Смешение предлогов εἰς и ἐν;

24. Исчезновение частицы ἄν;

25. Преобладание отрицания μή над οὐ;

26. Исчезновение частицы (союза) ὡς.

Синтаксис

27. Употребление глагольной части сказуемого во множ. чис. при подлежащем, выраженном существительным сред. р. во множ. чис.

28. Нарушения согласования наклонений;

29. Редкость косвенной речи;

30. Многозначность союза ἵνα (να) и частое его употребление (помимо целевых предложений – в предложениях подлежащих, дополнительных, причинных, условных, следственных);

31. Употребление сочетаний ὡς ἵνα, διὰ ἵνα;

32. Употребление предложной конструкции вместо разделительного генетива: τινὲς ἀπὸ τῶν ἀδελφῶν;

33. Употребление предложной конструкции вместо инструментального датива: ἐν ἀκοντίῳ φονεύειν;

34. Изменение управления падежей при глаголах, например, аккузатив вместо датива: ἔδωκα αὐτόν.

Греческий календарь

Сначала счет годам шел по поколениям (по три поколения на столетие), затем – по царям, жрецам, эпонимам. С IV в. до Р. Х. по 395 г. Р. Х. летоисчисление велось по Олимпиадам, т. е. четырехлетним промежуткам от одного олимпийского праздника до другого, причем исходным пунктом считался 776 г. до Р. Х.

Первоначально у греков был лунный год в 354 дня, и месяцы состояли из 30 или 29 дней; через три года вставляли дополнительный месяц. При Солоне был введен восьмилетний цикл, в котором дополнительный месяц вставлялся после III, V и VIII годов. Метон в 432 г. до Р. Х. ввел девятнадцатилетний цикл с семью вставочными месяцами; Калипп в 330 г. до Р. Х. – цикл из 76 лет, Гиппарх в 126 г. до Р. Х. – цикл из 304 лет.

Год начинался с июля, обыкновенно с первого новолуния.

Месяцы носили следующие названия:

1. Ἑκατομβαιών	Гекатомбеон	(июль – август)
2. Μεταγειτνιών	Метагитнион	(август – сентябрь)
3. Βοηδρομιών	Боидромион	(сентябрь – октябрь)
4. Πυανοψιών	Пианопсион	(октябрь – ноябрь)
5. Μαιμακτηριών	Мемактирион	(ноябрь – декабрь)
6. Ποσειδεών	Посидеон	(декабрь – январь)
7. Γαμηλιών	Гамилион	(январь – февраль)
8. Ἀνθεστηριών	Анфестирион	(февраль – март)
9. Ἐλαφηβολιών	Элафиболион	(март – апрель)
10. Μουνιχιών	Мунихион	(апрель – май)
11. Θαργηλιών	Фаргилион	(май – июнь)
12. Σκιροφοριών	Скирофорион	(июнь – июль)

В I месяце были Олимпийские и Панафинейские игры, в III Великие Элевсинские мистерии, в VI Малые Дионисии, в VII Ленейские и Немейские игры, в VIII Анфестирии, в IX Великие Дионисии, в X Дельфийские и Пифийские игры.

Месяцы делились на декады. Первый день месяца назывался νουμηνία (новолуние), остальные дни обозначались порядковыми числительными по декадам.

Календарь не был единым для всех областей, племен и полисов.

Меры и монетная система

Меры длины

метры	πούς	πῆχυς	ὀργυιά	πλέθρον	στάδιον	
0,296	1					πούς
0,444	1,5	1				πῆχυς
1,776	6	4	1			ὀργυιά
29,600	100			1		πλέθρον
177,600	600	400	100	6	1	στάδιον

Олимпийский стадий – ок. 192 м., был стадий и в 164 м. В парасанге 30 стадий. Греческий парасанг – 5,5 км, малоазийский – 4,5 км.

Мера поверхности πλέθρον – 876 кв. м.

Меры объема жидких тел

литры	κύαθος	κοτύλη	χοῦς	μετρητής	
0,0456	1				κύαθος
0,2736	6	1			κοτύλη
3,283		12	1		χοῦς
39,390			12	1	μετρητής

Меры объема сыпучих тел

литры	κύαθος	κοτύλη	χοῖνιξ	ἑκτεύς	μέδιμνος	
0,046	1					κύαθος
0,274	6	1				κοτύλη
1,094		4	1			χοῖνιξ
8,754			8	1		ἑκτεύς
52,53				6	1	μέδιμνος

Меры веса

кг	δραχμή	μνᾶ	τάλαντον
0,006	1		
0,6	100	1	
36	6000	60	1

Эгейский талант – 37 кг., эвбейский – 26 кг.

Аттические медные и серебряные монеты

λεπτόν	1				
ὀβολός	56	1			
δραχμή	336	6	1		
μνᾶ	33600	600	100	1	
τάλαντον	2016000	36000	6000	60	1
	λεπτόν	ὀβολός	δραχμή	μνᾶ	τάλαντον

Среди наиболее употребительных в Аттике со времен Солона монет – дидрахма, т. е. двойная драхма; или статер (στατήρ); тетрадрахма, равная четырем драхмам.

Условные сокращения имен греческих авторов

Ael. Элиан (II – III вв.)
Aesch. Эсхил (525 – 456)
Aeschin. Эсхин (389 – 314)
Aesop. Эсоп (VI – V вв.)
Anacr. Анакреонт (VI – V вв.)
Alc. Алкей (VII – VI вв.)
Apollod. Аполлодор (II в. до Р. Х.)
Apoll. Аполлоний (295 – 215)
App. Аппиан (95 – 165)
Archil. Архилох (VII – VI вв.)
Archim. Архимед (287 – 212)
Aristoph. Аристофан (446 – 385)
Arist. Аристотель (384 – 322)
Arr. Арриан (95 – 176)
Athen. Афиней (III в. Р. Х.)
Bas. Василий Кесарийский (329 – 379)
Call. Каллимах (310 – 240)
Dem. Демосфен (384 – 322)
Democr. Демокрит (ок. 460 – 370)
Diod. Диодор Сицилийский (ок. 90 – 21)
Diog. Диоген Лаэртский (III в. н. э.)
Dio Cass. Дион Кассий Кокцеян (155 – 235)
Dio Chrys. Дион Хризостом (ок. 40 – 120)
Dionys. Дионисий Галикарнасский (I в. до Р. Х. – I в. Р. Х.)
Epic. Эпикур (341 – 270)

Eucl. Эвклид (III в. до Р. Х.)
Eurip. Еврипид (ок. 480 – 406)
Her. Геродот (ок. 484 е 425)
Hes. Гесиод (VIII е VII вв.)
Hipp. Гиппократ (ок. 460 – 377)
Hom. Гомеровы поэмы (IX – VIII в.)
Ioh. Иоанн Златоуст (344 – 407)
Ios. Иосиф Флавий (37 – 102)
Isocr. Исократ (436 – 338)
Lib. Либаний (314 – 393)
Long. Лонг (III в. Р. Х.)
Luc. Лукиан (ок. 120 – 200)
Lys. Лисий (ок. 459 – ок. 380)
Men. Менандр (ок. 343 – ок. 291)
N. T. Новый Завет (I – II вв.)
Paus. Павсаний (II в. Р. Х.)
Pind. Пиндар (518 – 442-438)
Plat. Платон (527 – 347)
Plot. Плотин (204 – 270)
Plut. Плутарх (ок. 45 – 120)
Polyb. Полибий (ок. 201 – 120)
Procl. Прокл (410 – 485)
Sapph. Сапфо (VII – VI вв.)
Sim. Симонид Кеосский (556 – 468)
Sol. Солон (ок. 634 – 559)
Soph. Софокл (ок. 497 – 406)
Stob. Стобей (V в. Р. Х.)
Strab. Страбон (ок. 63 – 19)
Theocr. Феокрит (ок. 310 – 250)
Theogn. Феогнид (VI – V вв. до Р. Х.)
Thuc. Фукидид (ок. 460 – 395)
Xen. Ксенофонт (430 – 355)
Zen. Зенон (ок. 336 – 264)

ИЗБРАННЫЕ МЕСТА

ИЗ ГРЕЧЕСКИХ АВТОРОВ

Ὁμήρου Ἴλιας

λοιμός. μῆνις

I. 1 Μῆνιν ἄειδε[5], θεά, Πηληϊάδεω[11] Ἀχιλῆος[16]
οὐλομένην[3], ἣ μυρί᾽ Ἀχαιοῖς ἄλγε᾽[18] ἔθηκεν,
πολλὰς δ᾽ ἰφθίμους ψυχὰς Ἄϊδι[6] προΐαψεν
ἡρώων, αὐτοὺς δὲ ἑλώρια τεῦχε[30] κύνεσσιν[15]
οἰωνοῖσί[13] τε δαῖτα, Διὸς δ᾽ ἐτελείετο βουλή,
ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε
Ἀτρεΐδης τε ἄναξ ἀνδρῶν καὶ δῖος Ἀχιλλεύς.

II. 188 ὅν τινα μὲν βασιλῆα[16] καὶ ἔξοχον ἄνδρα κιχείη,
τὸν δ᾽ ἀγανοῖς ἐπέεσσιν[15] ἐρητύσασκε[30] παραστάς·
«δαιμόνι᾽ οὔ σε ἔοικε κακὸν ὣς δειδίσσεσθαι;
ἀλλ᾽ αὐτός τε κάθησο καὶ ἄλλους ἵδρυε λαούς.
οὐ γάρ πω σάφα οἶσθ᾽, οἷος νόος[5] Ἀτρεΐωνος·
νῦν μὲν πειρᾶται, τάχα δ᾽ ἴψεται υἷας[20] Ἀχαιῶν.
ἐν βουλῇ δ᾽ οὐ πάντες ἀκούσαμεν, οἷον ἔειπεν[31].
μή τι χολωσάμενος ῥέξῃ κακὸν υἷας[20] Ἀχαιῶν·
θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέος[18] βασιλῆος[16],
τιμὴ δ᾽ ἐκ Διός ἐστι, φιλεῖ δέ ἑ[22] μητίετα Ζεύς.»
ὃν δ᾽ αὖ δήμου τ᾽ ἄνδρα ἴδοι βοόωντά[32] τ᾽ ἐφεύροι,
τὸν σκήπτρῳ ἐλάσασκεν[38] ὁμοκλήσασκέ[38] τε μύθῳ·
«δαιμόνι᾽, ἀτρέμας ἧσο[41] καὶ ἄλλων μῦθον ἄκουε,
οἳ σέο[22] φέρτεροί[21] εἰσι, σὺ δ᾽ ἀπτόλεμος καὶ ἄναλκις,
οὔτέ ποτ᾽ ἐν πολέμῳ ἐναρίθμιος οὔτ᾽ ἐνὶ[36] βουλῇ.
οὐ μέν πως πάντες βασιλεύσομεν ἐνθάδ᾽ Ἀχαιοί.
οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,
εἷς βασιλεύς, ᾧ ἔδωκε Κρόνου πάις[6] ἀγκυλομήτεω[11]
σκῆπτρόν τ᾽ ἠδὲ θέμιστας, ἵνα σφίσι βασιλεύῃ.»

ὣς ὅ γε κοιρανέων[5] δίεπε[30] στρατόν· οἱ δ' ἀγορήνδε
αὖτις ἐπεσσεύοντο νεῶν ἄπο καὶ κλισιάων[9]
ἠχῇ, ὡς ὅτε κῦμα πολυφλοίσβοιο θαλάσσης
αἰγιαλῷ μεγάλῳ βρέμεται, σμαραγεῖ δέ τε πόντος.
ἄλλοι μέν ῥ' ἕζοντο[30], ἐρήτυθεν δὲ καθ' ἕδρας,
Θερσίτης δ' ἔτι μοῦνος[3] ἀμετροεπὴς ἐκολῴα,
ὅς ῥ' ἔπεα[18] φρεσὶν ᾗσιν[24] ἄκοσμά τε πολλά τε ᾔδη,
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον, ἐριζέμεναι[29] βασιλεῦσιν,
ἀλλ' ὅτι οἱ εἴσαιτο[35] γελοίϊον[6] Ἀργείοισιν
ἔμμεναι[33]. αἴσχιστος δὲ ἀνὴρ ὑπὸ Ἴλιον ἦλθεν·
φολκὸς ἔην[33], χωλὸς δ' ἕτερον πόδα· τὼ δέ οἱ ὤμω
κυρτώ, ἐπὶ στῆθος συνοχωκότε· αὐτὰρ ὕπερθεν
φοξὸς ἔην[33] κεφαλήν, ψεδνὴ δ' ἐπενήνοθε λάχνη.
ἔχθιστος δ' Ἀχιλῆϊ μάλιστ' ἦν ἠδ' Ὀδυσῆϊ·
τὼ γὰρ νεικείεσκε[38]. τότ' αὖτ' Ἀγαμέμνονι δίῳ
ὀξέα κεκληγὼς λέγ' ὀνείδεα[18]· τῷ δ' ἄρ' Ἀχαιοὶ
ἐκπάγλως κοτέοντο[30] νεμέσσηθέν τ' ἐνὶ[36] θυμῷ.
αὐτὰρ ὁ μακρὰ βοῶν Ἀγαμέμνονα νείκεε[5] μύθῳ·
«Ἀτρεΐδη, τέο[23] δὴ αὖτ' ἐπιμέμφεαι[26] ἠδὲ χατίζεις;
πλεῖαί τοι[22] χαλκοῦ κλισίαι, πολλαὶ δὲ γυναῖκες
εἰσὶν ἐνὶ[36] κλισίῃς[10] ἐξαίρετοι, ἅς τοι[22] Ἀχαιοὶ
πρωτίστῳ δίδομεν, εὖτ' ἂν πτολίεθρον ἕλωμεν.
ἦ ἔτι καὶ χρυσοῦ ἐπιδεύεαι[26], ὅν κέ[37] τις οἴσει
Τρώων ἱπποδάμων ἐξ Ἰλίου υἷος ἄποινα,
ὅν κεν[37] ἐγὼ δήσας ἀγάγω ἢ ἄλλος Ἀχαιῶν,
ἠὲ γυναῖκα νέην, ἵνα μίσγεαι[26] ἐν φιλότητι,
ἥν τ' αὐτὸς ἀπονόσφι κατίσχεαι[26]; οὐ μὲν ἔοικεν
ἀρχὸν ἐόντα κακῶν ἐπιβασκέμεν[29] υἷας[20] Ἀχαιῶν.
ὦ πέπονες, κάκ' ἐλέγχε'[18], Ἀχαιΐδες, οὐκέτ' Ἀχαιοί,
οἴκαδέ περ σὺν νηυσὶ[19] νεώμεθα, τόνδε δ' ἐῶμεν
αὐτοῦ ἐνὶ Τροίῃ[1] γέρα πεσσέμεν[29], ὄφρα ἴδηται,
ἤ ῥά τί οἱ χἠμεῖς προσαμύνομεν ἦε καὶ οὐκί·
ὃς καὶ νῦν Ἀχιλῆα[16], ἕο[22] μέγ' ἀμείνονα φῶτα,
ἠτίμησεν· ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀπούρας.
ἀλλὰ μάλ' οὐκ Ἀχιλῆϊ[16] χόλος φρεσίν, ἀλλὰ μεθήμων·
ἦ γὰρ ἄν, Ἀτρεΐδη, νῦν ὕστατα λωβήσαιο.»

ὣς φάτο[30] νεικείων Ἀγαμέμνονα ποιμένα λαῶν
Θερσίτης· τῷ δ' ὦκα παρίστατο δῖος Ὀδυσσεύς,
καί μιν ὑπόδρα ἰδὼν χαλεπῷ ἠνίπαπε μύθῳ·
«Θερσῖτ' ἀκριτόμυθε, λιγύς περ ἐὼν[33] ἀγορητής,
ἴσχεο, μηδ' ἔθελ' οἶος ἐριζέμεναι[29] βασιλεῦσιν.
οὐ γὰρ ἐγὼ σέο[22] φημὶ χερειότερον[21] βροτὸν ἄλλον
ἔμμεναι[33], ὅσσοι ἅμ' Ἀτρεΐδῃς ὑπὸ Ἴλιον ἦλθον.
τῷ οὐκ ἂν βασιλῆας[16] ἀνὰ στόμ' ἔχων ἀγορεύοις,
καί σφιν[23] ὀνείδεά[18] τε προφέροις νόστόν τε φυλάσσοις.
(οὐδέ τί πω σάφα ἴδμεν[35], ὅπως ἔσται τάδε ἔργα,
ἢ εὖ ἦε κακῶς νοστήσομεν υἷες[20] Ἀχαιῶν.
τῶ νῦν Ἀτρεΐδῃ Ἀγαμέμνονι, ποιμένι λαῶν,
ἧσαι[41] ὀνειδίζων, ὅτι οἱ μάλα πολλὰ διδοῦσιν
ἥρωες Δαναοί· σὺ δὲ κερτομέων[5] ἀγορεύεις.)
ἀλλ' ἔκ τοι ἐρέω[40], τὸ δὲ καὶ τετελεσμένον ἔσται·
εἴ κ' ἔτι σ' ἀφραίνοντα κιχήσομαι, ὥς νύ περ ὧδε,
μηκέτ' ἔπειτ' Ὀδυσῆϊ[16] κάρη ὤμοισιν[13] ἐπείη,
μηδ' ἔτι Τηλεμάχοιο[12] πατὴρ κεκλημένος εἴην,
εἰ μὴ ἐγώ σε λαβὼν ἀπὸ μὲν φίλα εἵματα δύσω[40],
χλαῖνάν τ' ἠδὲ χιτῶνα, τά τ' αἰδῶ ἀμφικαλύπτει,
αὐτὸν δὲ κλαίοντα θοὰς ἐπὶ νῆας[19] ἀφήσω
πεπληγὼς ἀγορῆθεν ἀεικέσσι[15] πληγῇσιν.»
ὣς ἄρ' ἔφη, σκήπτρῳ δὲ μετάφρενον ἠδὲ καὶ ὤμω
πλῆξεν[30]· ὁ δ' ἰδνώθη, θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.
σμῶδιξ δ' αἱματόεσσα μεταφρένου ἐξυπανέστη
σκήπτρου ὕπο χρυσέου[5]· ὁ δ' ἄρ' ἕζετο[30] τάρβησέν τε,
ἀλγήσας δ', ἀχρεῖον ἰδών, ἀπομόρξατο[30] δάκρυ.
οἱ δὲ καὶ ἀχνύμενοί περ ἐπ' αὐτῷ ἡδὺ γέλασσαν[30]·
ὧδε δέ τις εἴπεσκεν[38] ἰδὼν ἐς πλησίον ἄλλον·
«ὢ πόποι, ἦ δὴ μυρί' Ὀδυσσεὺς ἐσθλὰ ἔοργεν[31]
βουλάς τ' ἐξάρχων ἀγαθὰς πόλεμόν τε κορύσσων·
νῦν δὲ τόδε μέγ' ἄριστον ἐν Ἀργείοισιν[31] ἔρεξεν[30],
ὃς τὸν λωβητῆρα ἐπεσβόλον ἔσχ' ἀγοράων[9].
οὐ θήν μιν[22] πάλιν αὖτις ἀνήσει θυμὸς ἀγήνωρ
νεικείειν βασιλῆας ὀνειδείοις ἐπέεσσιν.»

«Илиаду» обычно относят к VIII в. до н. э. I, 1–8 зачин, II, 188–277 – эпизод с Терситом во время испытания греческого войска.

Размер гомеровских поэм – гексаметр (см. Приложение, стр. 216–217). Цифры в греческом тексте обозначают ссылки на приложение «Гомеровский диалект» (стр. 217–219).

I. 1. Πηληϊάδεω синицезис (стр. 216).

3. ἰφθίμους = ἰφθίμων (ἡρώων).

6. διαστήτην ἐρίσαντε двойств. число.

II.188. μέν – соответствующее ему δέ находится в 198 ст. κιχείη оптатив для обозначения повторяющегося действия, как подлежащее подразумевается Ὀδυσσεύς.

190. δειδίσσεσθαι = δεδιέναι.

204. ἀγαθόν существительное.

205. ᾧ ἔδωκε подраз. βασιλεύειν.

ἀγκυλομήτεω синицезис. ἀγκυλομήτης Кронос.

210. αἰγιαλῷ dativus loci.

217–218. τὼ ὤμω κυρτὼ συνοχώκοτε двойств. число.

217. πόδα и 219. κεφαλήν acc. limitationis.

225. δὴ αὖτ᾿ элизия.

232. γυναῖκα acc. в противоположность gen. χρυσοῦ в зависимости от ἐπιδεύεαι.

235. κάκ᾿ ἐλέγχε· отвлеченное понятие вм. конкретного.

238. χἠμεῖς = καὶ ἡμεῖς (красис).

241. μάλα подраз. ἐστί. μεθήμων подраз. ἦν или εἴη.

250. τῷ поэтому.

250–251. οὐκ ἂν ἀγορεύοις, προφέροις, φυλάσσοις оптатив выражает запрещение.

252–256. стихи считаются поздней вставкой.

258. περ относится к ὧς.

266. δάκρυ в собирательном смысле.

267. μεταφρένου ἐξυπανέστη = ἀνέστη ὑπὲκ (из-под) μεταφρένου.

271. τις иной. πλησίον существительное.

272. δή = ἤδη.

274. τόδε дополнение.

275. ὅς с причинным оттенком. ἔσχε = ἔπαυσεν.

17. Ἀπὸ τοῦ Βορυσθενεϊτέων[9] ἐμπορίου (τοῦτο γὰρ τῶν παραθαλασσίων μεσαίτατόν ἐστι πάσης τῆς Σκυθίης[1]), ἀπὸ τούτου πρῶτοι Καλλιπίδαι νέμονται ἐόντες[5] Ἕλληνες Σκύθαι, ὑπὲρ δὲ τούτων ἄλλο ἔθνος οἳ Ἀλιζῶνες καλέονται[5]. οὗτοι δὲ καὶ οἱ Καλλιπίδαι τὰ μὲν ἄλλα κατὰ ταὐτὰ Σκύθῃσι[10] ἐπασκέουσι, σῖτον δὲ καὶ σπείρουσι καὶ σιτέονται[5], καὶ κρόμμυα καὶ σκόροδα καὶ φακοὺς καὶ κέγχρους. Ὑπὲρ δὲ Ἀλιζώνων οἰκέουσι[5] Σκύθαι ἀροτῆρες, οἳ οὐκ ἐπὶ σιτήσι σπείρουσι τὸν σῖτον ἀλλ᾽ ἐπὶ πρήσι. Τούτων δὲ κατύπερθε οἰκέουσι Νευροί, Νευρῶν δὲ τὸ πρὸς βορέην[1] ἄνεμον ἔρημος ἀνθρώπων, ὅσον ἡμεῖς ἴδμεν[35]. ταῦτα μὲν παρὰ τὸν Ὕπανιν ποταμόν ἐστι ἔθνεα[18] πρὸς ἑσπέρης τοῦ Βορυσθένεος[18]. **18.** Ἀτὰρ διαβάντι τὸν Βορυσθένεα[18] ἀπὸ θαλάσσης πρῶτον μὲν ἡ Ὑλαίη, ἀπὸ δὲ ταύτης ἄνω ἰόντι οἰκέουσι[5] Σκύθαι γεωργοί, τοὺς Ἕλληνες οἱ οἰκέοντες[5] ἐπὶ τῷ Ὑπάνι ποταμῷ καλέουσι[5] Βορυσθενεΐτας, σφέας[22] δὲ αὐτοὺς Ὀλβιοπολίτας. Οὗτοι ὦν[r] οἱ γεωργοὶ Σκύθαι νέμονται τὸ μὲν πρὸς τὴν ἠῶ[7] ἐπὶ τρεῖς ἡμέρας ὁδοῦ, κατήκοντες[x] ἐπὶ ποταμὸν τῷ οὔνομα[3] κέεται[5] Παντικάπης, τὸ δὲ πρὸς βορέην[1] ἄνεμον πλόον[5] ἀνὰ τὸν Βορυσθένεα[5] ἡμερέων[9] ἕνδεκα. ἡ δὲ κατύπερθε τούτων ἔρημός ἐστι ἐπὶ πολλόν[14], μετὰ δὲ τὴν ἔρημον Ἀνδροφάγοι οἰκέουσι, ἔθνος ἐὸν ἴδιον καὶ οὐδαμῶς Σκυθικόν. τὸ δὲ τούτων κατύπερθε ἔρημος ἤδη ἀληθέως καὶ ἔθνος ἀνθρώπων οὐδέν, ὅσον ἡμεῖς ἴδμεν[35]. **19.** Τὸ δὲ πρὸς τὴν ἠῶ τῶν γεωργῶν τούτων Σκυθέων[9] διαβάντι τὸν Παντικάπην ποταμὸν νομάδες ἤδη Σκύθαι νέμονται, οὔτε τι σπείροντες οὐδὲν οὔτε ἀροῦντες· ψιλὴ δὲ δενδρέων[9] ἡ πᾶσα αὕτη [γῆ] πλὴν τῆς Ὑλαίης. οἱ δὲ νομάδες οὗτοι τὸ πρὸς τὴν ἠῶ ἡμερέων[9] τεσσέρων[a] καὶ δέκα ὁδὸν νέμονται χώρην[1] κατατείνουσαν ἐπὶ ποταμὸν Γέρρον. **20.** Πέρην δὲ τοῦ Γέρρου ταῦτα δὴ τὰ καλεύμενα[4] βασιλήιά[a] ἐστι καὶ Σκύθαι οἱ ἄριστοί τε καὶ πλεῖστοι καὶ τοὺς ἄλλους νομίζοντες Σκύθας δούλους σφετέρους εἶναι· κατήκουσι[x] δὲ οὗτοι τὸ μὲν πρὸς μεσαμβρίην[1] ἐς τὴν Ταυρικήν, τὸ δὲ πρὸς ἠῶ ἐπί τε τάφρον, τὴν δὴ οἱ ἐκ τῶν τυφλῶν γενόμενοι ὤρυξαν, καὶ ἐπὶ τῆς λίμνης τῆς Μαιήτιδος τὸ ἐμπόριον τὸ καλέεται[5] Κρημνοί· τὰ δὲ αὐτῶν κατήκουσι[x] ἐπὶ ποταμὸν Τάναϊν. τὰ δὲ κατύπερθε πρὸς βορέην[1] ἄνεμον τῶν βασιληίων[a] Σκυθέων οἰκέουσι[5] Μελάγχλαινοι, ἄλλο ἔθνος καὶ οὐ Σκυθικόν. Μελαγχλαίνων

δὲ τὸ κατύπερθε λίμναι καὶ ἔρημός ἐστι ἀνθρώπων, κατ' ὅσον[*] ἡμεῖς ἴδμεν[35]. 21. Τάναϊν δὲ ποταμὸν διαβάντι οὐκέτι Σκυθική, ἀλλ' ἡ μὲν πρώτη τῶν λαξίων Σαυροματέων[9] ἐστί, οἳ ἐκ τοῦ μυχοῦ ἀρξάμενοι τῆς Μαιήτιδος λίμνης νέμονται τὸ πρὸς βορέην[1] ἄνεμον, ἡμερέων[9] πεντεκαίδεκα ὁδόν, πᾶσαν ἐοῦσαν[5] ψιλὴν καὶ ἀγρίων καὶ ἡμέρων δενδρέων· ὑπεροικέουσι[5] δὲ τούτων δευτέρην[1] λάξιν ἔχοντες Βουδῖνοι, γῆν νεμόμενοι πᾶσαν δασέαν ὕλῃ παντοίῃ. 22. Βουδίνων δὲ κατύπερθε πρὸς βορέην[1] ἐστὶ πρώτη μὲν ἔρημος ἐπ' ἡμερέων[9] ἑπτὰ ὁδόν, μετὰ δὲ τὴν ἔρημον ἀποκλίνοντι μᾶλλον πρὸς ἀπηλιώτην ἄνεμον νέμονται Θυσσαγέται, ἔθνος πολλὸν καὶ ἴδιον· ζῶσι δὲ ἀπὸ θήρης[1]. Συνεχέες[5] δὲ τούτοισι[13] ἐν τοῖσι αὐτοῖσι τόποισι[13] κατοικημένοι εἰσὶ τοῖσι οὔνομα κέεται[5] Ἰύρκαι, καὶ οὗτοι ἀπὸ θήρης[1] ζῶντες τρόπῳ τοιῷδε· λοχᾷ ἐπὶ δένδρεον ἀναβάς, τὰ δέ ἐστι πυκνὰ ἀνὰ πᾶσαν τὴν χώρην[1]· ἵππος δὲ ἑκάστῳ δεδιδαγμένος ἐπὶ γαστέρα κεῖσθαι ταπεινότητος εἵνεκα[2] ἕτοιμός ἐστι καὶ κύων· ἐπεὰν δὲ ἀπίδῃ τὸ θηρίον ἀπὸ τοῦ δενδρέου, τοξεύσας [καὶ] ἐπιβὰς ἐπὶ τὸν ἵππον διώκει, καὶ ὁ κύων ἔχεται. ὑπὲρ δὲ τούτων τὸ πρὸς τὴν ἠῶ[*] ἀποκλίνοντι οἰκέουσι[5] Σκύθαι ἄλλοι, ἀπὸ τῶν βασιληίων[*] Σκυθέων ἀποστάντες καὶ οὕτω ἀπικόμενοι[*] ἐς τοῦτον τὸν χῶρον. 23. Μέχρι μὲν δὴ τῆς τούτων τῶν Σκυθέων[5] χώρης[1] ἐστὶ ἡ καταλεχθεῖσα πᾶσα πεδιάς τε γῆ καὶ βαθύγαιος, τὸ δ' ἀπὸ τούτου λιθώδης τ' ἐστὶ καὶ τρηχέα. διεξελθόντι δὲ καὶ τῆς τρηχέης[1] χῶρον πολλὸν οἰκέουσι[5] ὑπωρείην ὀρέων ὑψηλῶν ἄνθρωποι λεγόμενοι εἶναι πάντες φαλακροὶ ἐκ γενετῆς γινόμενοι[*], καὶ ἔρσενες καὶ θήλεαι ὁμοίως, καὶ σιμοὶ καὶ γένεια ἔχοντες μεγάλα, φωνὴν δὲ ἰδίην[11] ἱέντες, ἐσθῆτι δὲ χρεώμενοι Σκυθικῇ, ζῶντες δὲ ἀπὸ δενδρέων. ποντικὸν μὲν οὔνομα[3] τῷ δενδρέῳ ἀπ' οὗ ζῶσι, μέγαθος[*] δὲ κατὰ συκέην[1] μάλιστά κῃ· καρπὸν δὲ φορέει[5] κυάμῳ ἴσον, πυρῆνα δὲ ἔχει· τοῦτο ἐπεὰν γένηται πέπον, σακκέουσι ἱματίοισι[13], ἀπορρέει[5] δὲ ἀπ' αὐτοῦ παχὺ καὶ μέλαν, οὔνομα[3] δὲ τῷ ἀπορρέοντί ἐστι ἄσχυ· τοῦτο καὶ λείχουσι καὶ γάλακτι συμμίσγοντες πίνουσι, καὶ ἀπὸ τῆς παχύτητος αὐτοῦ τῆς τρυγὸς παλάθας συντιθεῖσι καὶ ταύτας σιτέονται[5]. πρόβατα γάρ σφι[22] οὐ πολλά ἐστι· οὐ γάρ τι σπουδαῖαι αἱ νομαὶ αὐτόθι εἰσί. ὑπὸ δενδρέῳ δὲ ἕκαστος κατοίκηται, τὸν μὲν χειμῶνα ἐπεὰν τὸ δένδρεον περικαλύψῃ πίλῳ στεγνῷ λευκῷ, τὸ δὲ θέρος ἄνευ πίλου. τούτους οὐδεὶς ἀδικέει[5] ἀνθρώπων (ἱροὶ[*] γὰρ λέγονται εἶναι). οὐδέ τι ἀρήιον[*] ὅπλον ἐκτέαται. καὶ τοῦτο μὲν τοῖσι[13] περιοικέουσι[5] οὗτοί εἰσι οἱ τὰς διαφορὰς

διαιρέοντες, τοῦτο δέ, ὃς ἂν φεύγων καταφύγῃ ἐς τούτους, ὑπ' οὐδενὸς ἀδικέεται[5]. οὔνομα[3] δέ σφί[22] ἐστι Ἀργιππαῖοι. **24.** Μέχρι μέν νυν τῶν φαλακρῶν τούτων πολλὴ περιφανείη τῆς χώρης ἐστὶ καὶ τῶν ἔμπροσθε ἐθνέων[5]· καὶ γὰρ Σκυθέων[9] τινὲς ἀπικνέονται[x] ἐς αὐτούς, τῶν οὐ χαλεπόν ἐστι πυθέσθαι, καὶ Ἑλλήνων τῶν ἐκ Βορυσθένεός τε ἐμπορίου καὶ τῶν ἄλλων Ποντικῶν ἐμπορίων. Σκυθέων[9] δὲ οἳ ἂν ἔλθωσι ἐς αὐτοὺς δι' ἑπτὰ ἑρμηνέων καὶ δι' ἑπτὰ γλωσσέων[9] διαπρήσσονται. **25.** Μέχρι μὲν δὴ τούτων γινώσκεται[a], τὸ δὲ τῶν φαλακρῶν κατύπερθε οὐδεὶς ἀτρεκέως οἶδε φράσαι· ὄρεα[18] γὰρ ὑψηλὰ ἀποτάμνει ἄβατα καὶ οὐδείς σφεα[22] ὑπερβαίνει· οἱ δὲ φαλακροὶ οὗτοι λέγουσι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, οἰκέειν τὰ ὄρεα[18] αἰγίποδας ἄνδρας, ὑπερβάντι δὲ τούτους ἀνθρώπους ἄλλους οἳ τὴν ἑξάμηνον καθεύδουσι· τοῦτο δὲ οὐκ ἐνδέκομαι[a] [τὴν] ἀρχήν. ἀλλὰ τὸ μὲν πρὸς ἠῶ[a] τῶν φαλακρῶν γινώσκεται[a] ἀτρεκέως ὑπὸ Ἰσσηδόνων οἰκεόμενον[5], τὸ μέντοι κατύπερθε πρὸς βορέην[1] ἄνεμον οὐ γινώσκεται[a] οὔτε τῶν φαλακρῶν οὔτε τῶν Ἰσσηδόνων, εἰ μὴ ὅσα αὐτῶν τούτων λεγόντων. **26.** Νόμοισι δὲ Ἰσσηδόνες τοιοισίδε λέγονται χρᾶσθαι· ἐπεὰν ἀνδρὶ ἀποθάνῃ πατήρ, οἱ προσήκοντες πάντες προσάγουσι πρόβατα καὶ ἔπειτα ταῦτα θύσαντες καὶ καταταμόντες τὰ κρέα κατατάμνουσι καὶ τὸν τοῦ δεκομένου τεθνεῶτα γονέα, ἀναμίξαντες δὲ πάντα τὰ κρέα δαῖτα προτίθενται. τὴν δὲ κεφαλὴν αὐτοῦ ψιλώσαντες καὶ ἐκκαθήραντες καταχρυσοῦσι καὶ ἔπειτα ἅτε ἀγάλματι χρέωνται[5], θυσίας μεγάλας ἐπετείους ἐπιτελέοντες[5]. παῖς δὲ πατρὶ τοῦτο ποιέει, κατά περ Ἕλληνες τὰ γενέσια. ἄλλως δὲ δίκαιοι καὶ οὗτοι λέγονται εἶναι, ἰσοκρατέες δὲ ὁμοίως αἱ γυναῖκες τοῖσι ἀνδράσι. **27.** Γινώσκονται μὲν δὴ καὶ οὗτοι, τὸ δὲ ἀπὸ τούτων τὸ κατύπερθε Ἰσσηδόνες εἰσὶ οἱ λέγοντες τοὺς μουνοφθάλμους ἀνθρώπους καὶ τοὺς χρυσοφύλακας γρῦπας εἶναι, παρὰ δὲ τούτων Σκύθαι παραλαβόντες λέγουσι· παρὰ δὲ Σκυθέων ἡμεῖς οἱ ἄλλοι νενομίκαμεν, καὶ ὀνομάζομεν αὐτοὺς Σκυθιστὶ Ἀριμασπούς· ἄριμα γὰρ ἓν καλέουσι[5] Σκύθαι, σποῦ δὲ ὀφθαλμόν. **28.** Δυσχείμερος δὲ αὕτη καταλεχθεῖσα πᾶσα χώρη οὕτω δή τί ἐστι, ἔνθα τοὺς μὲν ὀκτὼ τῶν μηνῶν ἀφόρητος οἷος γίνεται[a] κρυμός, ἐν τοῖσι ὕδωρ ἐκχέας πηλὸν οὐ ποιήσεις, πῦρ δὲ ἀνακαίων ποιήσεις πηλόν· ἡ δὲ θάλασσα πήγνυται καὶ ὁ Βόσπορος πᾶς ὁ Κιμμέριος, καὶ ἐπὶ τοῦ κρυστάλλου οἱ ἐκτὸς τῆς τάφρου Σκύθαι κατοικημένοι στρατεύονται καὶ τὰς ἁμάξας ἐπελαύνουσι πέρην ἐς τοὺς Σίνδους. οὕτω μὲν δὴ τοὺς ὀκτὼ μῆνας

διατελέει[5] χειμὼν ἐών, τοὺς δ᾽ ἐπιλοίπους τέσσερας[6] ψύχεα[18] αὐτόθι ἐστί. Κεχώρισται δὲ οὗτος ὁ χειμὼν τοὺς τρόπους πᾶσι τοῖσι[13] ἐν ἄλλοισι[13] χωρίοισι[13] γινομένοισι[13] χειμῶσι, ἐν τῷ τὴν μὲν ὡραίην οὐκ ὕει λόγου ἄξιον οὐδέν, τὸ δὲ θέρος ὕων οὐκ ἀνιεῖ. βρονταί τε ἦμος τῇ ἄλλῃ γίνονται[*], τηνικαῦτα μὲν οὐ γίνονται, θέρεος δὲ ἀμφιλαφέες[5]· ἢν δὲ χειμῶνος βροντὴ γένηται, ὡς τέρας θωμάζεται[*]. ὣς δὲ καὶ ἢν σεισμὸς γένηται, ἤν τε θέρεος ἤν τε χειμῶνος, ἐν τῇ Σκυθικῇ τέρας νενόμισται. ἵπποι δὲ ἀνεχόμενοι φέρουσι τὸν χειμῶνα τοῦτον, ἡμίονοι δὲ οὐδὲ ὄνοι οὐκ ἀνέχονται ἀρχήν· τῇ δὲ ἄλλῃ ἵπποι μὲν ἐν κρυμῷ ἑστεῶτες[5] ἀποσφακελίζουσι, ὄνοι δὲ καὶ ἡμίονοι ἀνέχονται. **29.** Δοκέει[5] δέ μοι καὶ τὸ γένος τῶν βοῶν τὸ κόλον διὰ ταῦτα οὐ φύειν κέρεα αὐτόθι. Μαρτυρέει[5] δέ μοι τῇ γνώμῃ καὶ Ὁμήρου ἔπος ἐν Ὀδυσσηίῃ...

Ἱστοριῶν ἑβδομή

223. Ξέρξης δὲ ἐπεὶ ἡλίου ἀνατείλαντος σπονδὰς ἐποιήσατο, ἐπισχὼν χρόνον ἐς[*] ἀγορῆς[1] κου[*] μάλιστα πληθώρην πρόσοδον ἐποιέετο[5]. καὶ γὰρ ἐπέσταλτο ἐξ Ἐπιάλτεω[11] οὕτω· ἀπὸ γὰρ τοῦ ὄρεος ἡ κατάβασις συντομωτέρη[1] τέ ἐστι καὶ βραχύτερος ὁ χῶρος πολλὸν[14] ἤ περ ἡ περίοδός τε καὶ ἀνάβασις. Οἵ τε δὴ βάρβαροι οἱ ἀμφὶ Ξέρξην προσήισαν[34] καὶ οἱ ἀμφὶ Λεωνίδην Ἕλληνες, ὡς τὴν ἐπὶ θανάτῳ ἔξοδον ποιεύμενοι[4], ἤδη πολλῷ μᾶλλον ἢ κατ᾽ ἀρχὰς ἐπεξήισαν[34] ἐς τὸ εὐρύτερον τοῦ αὐχένος. τὸ μὲν γὰρ ἔρυμα τοῦ τείχεος ἐφυλάσσετο, οἱ δὲ ἀνὰ τὰς προτέρας ἡμέρας ὑπεξιόντες ἐς[*] τὰ στεινόπορα[2] ἐμάχοντο. τότε δὲ συμμίσγοντες ἔξω τῶν στεινῶν[2]. ἔπιπτον πλήθει[6] πολλοὶ τῶν βαρβάρων· ὄπισθε γὰρ οἱ ἡγεμόνες τῶν τελέων ἔχοντες μάστιγας ἐρράπιζον πάντα ἄνδρα, αἰεὶ ἐς τὸ πρόσω ἐποτρύνοντες. Πολλοὶ μὲν δὴ ἐσέπιπτον αὐτῶν ἐς τὴν θάλασσαν καὶ διεφθείροντο, πολλῷ δ᾽ ἔτι πλεῦνες[4] κατεπατέοντο[5] ζωοὶ ὑπ᾽ ἀλλήλων· ἦν δὲ λόγος οὐδεὶς τοῦ ἀπολλυμένου. ἅτε γὰρ ἐπιστάμενοι τὸν μέλλοντα σφίσι ἔσεσθαι θάνατον ἐκ τῶν περιιόντων τὸ ὄρος, ἀπεδείκνυντο ῥώμης ὅσον εἶχον μέγιστον ἐς τοὺς βαρβάρους, παραχρεώμενοί[5] τε καὶ ἀτέοντες. **224.** Δόρατα μέν νυν τοῖσι[13] πλέοσι αὐτῶν τηνικαῦτα ἤδη ἐτύγχανε κατεηγότα, οἱ δὲ τοῖσι ξίφεσι διεργάζοντο τοὺς Πέρσας. καὶ Λεωνίδης τε ἐν τούτῳ τῷ πόνῳ πίπτει ἀνὴρ γενόμενος ἄριστος, καὶ ἕτεροι μετ᾽ αὐτοῦ ὀνομαστοὶ Σπαρτιητέων[9], τῶν ἐγὼ ὡς ἀνδρῶν ἀξίων γενομένων ἐπυθόμην τὰ οὐνόματα[3], ἐπυθόμην δὲ καὶ ἁπάντων τῶν τριηκοσίων[1]. καὶ δὴ Περσέων[9] πίπτουσι ἐνθαῦτα[*] ἄλλοι τε πολλοὶ καὶ ὀνομαστοί,

ἐν δὲ δὴ καὶ Δαρείου δύο παῖδες... **225.** Ξέρξεώ[11] τε δὴ δύο ἀδελφεοὶ[5] ἐνθαῦτα[*] πίπτουσι μαχόμενοι, (καὶ) ὑπὲρ τοῦ νεκροῦ τοῦ Λεωνίδεω[11] Περσέων[9] τε καὶ Λακεδαιμονίων ὠθισμὸς ἐγίνετο[11] πολλός[14], ἐς ὃ τοῦτόν τε ἀρετῇ οἱ Ἕλληνες ὑπεξείρυσαν καὶ ἐτρέψαντο τοὺς ἐναντίους τετράκις. τοῦτο δὲ συνεστήκεε[5] μέχρι οὗ οἱ σὺν Ἐπιάλτῃ παρεγένοντο. ὡς δὲ τούτους ἥκειν ἐπύθοντο οἱ Ἕλληνες, ἐνθεῦτεν[*] ἤδη ἑτεροιοῦτο τὸ νεῖκος· ἔς τε γὰρ τὸ στεινὸν τῆς ὁδοῦ ἀνεχώρεον[5] ὀπίσω καὶ παραμειψάμενοι τὸ τεῖχος ἐλθόντες ἵζοντο ἐπὶ τὸν κολωνὸν πάντες ἀλέες οἱ ἄλλοι πλὴν Θηβαίων· ὁ δὲ κολωνός ἐστι ἐν τῇ ἐσόδῳ[*], ὅκου[*] νῦν ὁ λίθινος λέων ἕστηκε ἐπὶ Λεωνίδῃ. ἐν τούτῳ σφέας τῷ χώρῳ ἀλεξομένους μαχαίρῃσι[10], τοῖσι[13] αὐτῶν ἐτύγχανον ἔτι περιεοῦσαι, καὶ χερσὶ καὶ στόμασι κατέχωσαν οἱ βάρβαροι βάλλοντες, οἱ μὲν ἐξ ἐναντίης ἐπισπόμενοι καὶ τὸ ἔρυμα τοῦ τείχεος συγχώσαντες, οἱ δὲ περιελθόντες πάντοθεν περισταδόν.

226. Λακεδαιμονίων δὲ καὶ Θεσπιέων τοιούτων γενομένων ὅμως λέγεται ἄριστος ἀνὴρ γενέσθαι Σπαρτιήτης[1] Διηνέκης· τὸν τόδε φασὶ εἰπεῖν τὸ ἔπος πρὶν ἢ συμμῖξαί σφεας[22] τοῖσι Μήδοισι[13], πυθόμενον πρός τευ τῶν Τρηχινίων ὡς ἐπεὰν οἱ βάρβαροι ἀπιέωσι[*] τὰ τοξεύματα, τὸν ἥλιον ὑπὸ τοῦ πλήθεος τῶν ὀϊστῶν ἀποκρύπτουσι· τοσοῦτο πλῆθος αὐτῶν εἶναι· τὸν δὲ οὐκ ἐκπλαγέντα τούτοισι εἰπεῖν, ἐν ἀλογίῃ ποιεύμενον[4] τὸ τῶν Μήδων πλῆθος, ὡς πάντα σφι ἀγαθὰ ὁ Τρηχίνιος ξεῖνος ἀγγέλλοι, εἰ ἀποκρυπτόντων τῶν Μήδων τὸν ἥλιον ὑπὸ σκιῇ[1] ἔσοιτο πρὸς αὐτοὺς ἡ μάχη καὶ οὐκ ἐν ἡλίῳ. ταῦτα μὲν καὶ ἄλλα τοιουτότροπα ἔπεά φασι Διηνέκεα τὸν Λακεδαιμόνιον λιπέσθαι μνημόσυνα. **227.** Μετὰ δὲ τοῦτον ἀριστεῦσαι λέγονται Λακεδαιμόνιοι δύο ἀδελφεοί, Ἀλφεός τε καὶ Μάρων Ὀρσιφάντου παῖδες. Θεσπιέων δὲ εὐδοκίμεε[5] μάλιστα τῷ οὔνομα[3] ἦν Διθύραμβος Ἁρματίδεω[11]. **228.** Θαφθεῖσι δέ σφι[22] αὐτοῦ ταύτῃ τῇ περ ἔπεσον καὶ τοῖσι[13] πρότερον τελευτήσασι ἢ τοὺς ὑπὸ Λεωνίδεω[11] ἀποπεμφθέντας οἴχεσθαι, ἐπιγέγραπται γράμματα λέγοντα τάδε·

Μυριάσιν ποτὲ τῇδε τριηκοσίαις[1] ἐμάχοντο
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

Ταῦτα μὲν δὴ τοῖσι[13] πᾶσι ἐπιγέγραπται, τοῖσι δὲ Σπαρτιήτῃσι[A] ἰδίῃ·

Ὦ ξεῖν[2], ἀγγέλλειν Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα τοῖς κείνων[25] ῥήμασι πειθόμενοι.

Геродот (ок. 484 – 425) в своей «Истории», позже разделенной на девять книг по числу Муз, не только пишет о греко-персидских войнах (VII, 124 – 228, битва в Фермопильском ущелье), но и дает ценные сведения о Скифии (IV, 17 – 29, скифские племена в северном Причерноморье). Цифры в греческом тексте обозначают ссылки на приложение «Гомеровский диалект» (стр. 216 – 217), буквы – ссылки на приложение «Язык Геродота» (стр. 219).

IV. 17. τοῦ Βορυσθενεϊτέων ἐμπορίου имеется в виду Ольвия. πρῶτοι к северу. οἳ согласовано не с ἔθνος, а с καλέονται. Ἀλιζῶνες – они обитали в верховьях Южного Буга и к западу от него. Νευροί – они, по-видимому, жили в верховьях Днепра. Некоторые современные исследователи считают их предками [redacted].

18. διαβάντι dativus iudicantis (как и ниже ἰόντι). τρεῖς ἡμέραις ὁδοῦ – один день пути по Геродоту = 200 стадиям. οἱ γεωργοὶ Σκύθαι – они жили по течению реки Припяти. Οὐδαμῶς Σκυθικόν – возможная территория андрофагов – к северу от современного Днепропетровска по восточному берегу Днестра.

20. ἐκ τῶν τυφλῶν – скифы ослепляли своих рабов; речь идет о детях скифских женщин, вступивших в отсутствие мужей в связь с рабами. Κρημνοί – местонахождение этого торжища неизвестно. Μελάγχλαινοι – вероятно, жители в области реки Сейм.

21. Βουδῖνοι – племя в низовье современного Дона.

22. Θυσσαγέται – племя, жившее в верховьях современного Тагила и Печоры. Ἰύρκαι племя, жившее между современными Ахтубой и Волгой, по мнению В. В. Латышева, – предки уральских мадьяр.

23. λιθώδης τέ ἐστι καὶ τρηχέα в соленых степях находится твердая как камень кора. φαλακροί, по мнению С. Я. Лурье, – предшественники башкир. ποντικόν, по-видимому, подорожник. ἄσχυ у современных башкир есть кушанье «ахши». Ἀργιππαῖοι (досл. «белоконные») кочевое племя.

25. Ἰσσηδόνων племя, жившее к востоку от Урала и Алтая, а также в современном Западном Туркестане; о них Геродот

сообщает почти те же сведения, что и о массагетах в I книге. δαῖτα В. В. Струве оспаривает геродотово свидетельство о поедании трупного мяса.

28. ἔνθα в значении ὥστε ἐν αὐτῇ. ἀφόρητος οἷος γίγνεται κρυμός ассимиляция вм. ἀφόρητον (ἐστιν), οἷος γίγνεται κρυμός. Ἐντὸς τάφρου т.е. к западу от Киммерийского вала. Σίνδους этот народ жил на восточном берегу Понта в районе современной Анапы. См. А. А. Нейхардт. Скифский рассказ Геродота в отечественной историографии. Л., 1982.

VII. 223. ἐς ἀγορῆς ... πληθώρην = ἐς ἀγορὴν πληθούσην – время, когда площадь полна народу, т. е. после полудня. τὸ ἔρυμα τοῦ τείχεος и т. д.: эллины, ранее сражавшиеся у стен и не выходившие за теснины, теперь стали сражаться в более открытой местности. При συμμίσγοντες, как и при ὑπεξιόντες, подразум. οἱ Ἕλληνες. τοῦ ἀπολλυμένου в собирательном смысле. ἀπεδείκνυντο подразум. οἱ Ἕλληνες. παραχρεώμενοι подразум. σωμάτων или ψυχῶν.

224. ἀξίων подразум. πυθέσθαι τὰ οὐνόματα αὐτῶν. ἐν δέ подразум. ἐν τούτοις δέ.

225. λέων очевидно, с намеком на имя царя Леонида; ἐπί с дативом здесь: «в честь (кого-либо)».

226. τευ = τινος.

228. Эпитафии написаны элегическим двустишьем (см. приложение «Стихосложение» – стр. 215), автором их считается Симонид Кеосский. Πελοποννάσου и τέτορες дорические формы. ἀγγέλλειν инфинитив в значении императива.

Θουκυδίδου Ἱστορίαι

I, 22... καὶ ἐς μὲν ἀκρόασιν ἴσως τὸ μὴ μυθῶδες αὐτῶν ἀτερπέστερον φανεῖται· ὅσοι δὲ βουλήσονται τῶν τε γενομένων τὸ σαφὲς σκοπεῖν καὶ τῶν μελλόντων ποτὲ αὖθις κατὰ τὸ ἀνθρώπειον τοιούτων καὶ παραπλησίων ἔσεσθαι, ὠφέλιμα κρίνειν αὐτὰ ἀρκούντως ἕξει. Κτῆμά τε ἐς αἰεὶ μᾶλλον ἢ ἀγώνισμα ἐς τὸ παραχρῆμα ἀκούειν ξύγκειται.

II, 37. «Χρώμεθα γὰρ πολιτείᾳ οὐ ζηλούσῃ τοὺς τῶν πέλας νόμους, παράδειγμα δὲ μᾶλλον αὐτοὶ ὄντες τινὶ ἢ μιμούμενοι ἑτέρους. καὶ

ὄνομα μὲν διὰ τὸ μὴ ἐς ὀλίγους ἀλλ' ἐς πλείονας οἰκεῖν δημοκρατία κέκληται, μέτεστι δὲ κατὰ μὲν τοὺς νόμους πρὸς τὰ ἴδια διάφορα πᾶσι τὸ ἴσον, κατὰ δὲ τὴν ἀξίωσιν, ὡς ἕκαστος ἔν τῳ εὐδοκιμεῖ, οὐκ ἀπὸ μέρους τὸ πλέον ἐς τὰ κοινὰ ἢ ἀπ' ἀρετῆς προτιμᾶται, οὐδ' αὖ κατὰ πενίαν, ἔχων δέ τι ἀγαθὸν δρᾶσαι τὴν πόλιν, ἀξιώματος ἀφανείᾳ κεκώλυται. ἐλευθέρως δὲ τά τε πρὸς τὸ κοινὸν πολιτεύομεν καὶ ἐς τὴν πρὸς ἀλλήλους τῶν καθ' ἡμέραν ἐπιτηδευμάτων ὑποψίαν, οὐ δι' ὀργῆς τὸν πέλας, εἰ καθ' ἡδονήν τι δρᾷ, ἔχοντες, οὐδὲ ἀζημίους μέν, λυπηρὰς δὲ τῇ ὄψει ἀχθηδόνας προστιθέμενοι. ἀνεπαχθῶς δὲ τὰ ἴδια προσομιλοῦντες τὰ δημόσια διὰ δέος μάλιστα οὐ παρανομοῦμεν, τῶν τε αἰεὶ ἐν ἀρχῇ ὄντων ἀκροάσει καὶ τῶν νόμων, καὶ μάλιστα αὐτῶν ὅσοι τε ἐπ' ὠφελίᾳ τῶν ἀδικουμένων κεῖνται καὶ ὅσοι ἄγραφοι ὄντες αἰσχύνην ὁμολογουμένην φέρουσιν. **38.** Καὶ μὴν καὶ τῶν πόνων πλείστας ἀναπαύλας τῇ γνώμῃ ἐπορισάμεθα, ἀγῶσι μέν γε καὶ θυσίαις διετησίοις νομίζοντες, ἰδίαις δὲ κατασκευαῖς εὐπρεπέσιν, ὧν καθ' ἡμέραν ἡ τέρψις τὸ λυπηρὸν ἐκπλήσσει. ἐπεσέρχεται δὲ διὰ μέγεθος τῆς πόλεως ἐκ πάσης γῆς τὰ πάντα, καὶ ξυμβαίνει ἡμῖν μηδὲν οἰκειοτέρᾳ τῇ ἀπολαύσει τὰ αὐτοῦ ἀγαθὰ γιγνόμενα καρποῦσθαι ἢ καὶ τὰ τῶν ἄλλων ἀνθρώπων. **39.** Διαφέρομεν δὲ κἀν ταῖς τῶν πολεμικῶν μελέταις τῶν ἐναντίων τοῖσδε. τήν τε γὰρ πόλιν κοινὴν παρέχομεν, καὶ οὐκ ἔστιν ὅτε ξενηλασίαις ἀπείργομέν τινα ἢ μαθήματος ἢ θεάματος, ὃ μὴ κρυφθὲν ἄν τις τῶν πολεμίων ἰδὼν ὠφεληθείη, πιστεύοντες οὐ ταῖς παρασκευαῖς τὸ πλέον καὶ ἀπάταις ἢ τῷ ἀφ' ἡμῶν αὐτῶν ἐς τὰ ἔργα εὐψύχῳ· καὶ ἐν ταῖς παιδείαις οἱ μὲν ἐπιπόνῳ ἀσκήσει εὐθὺς νέοι ὄντες τὸ ἀνδρεῖον μετέρχονται, ἡμεῖς δὲ ἀνειμένως διαιτώμενοι οὐδὲν ἧσσον ἐπὶ τοὺς ἰσοπαλεῖς κινδύνους χωροῦμεν. τεκμήριον δέ· οὔτε γὰρ Λακεδαιμόνιοι καθ' ἑκάστους, μεθ' ἁπάντων δὲ ἐς τὴν γῆν ἡμῶν στρατεύουσι, τήν τε τῶν πέλας αὐτοὶ ἐπελθόντες οὐ χαλεπῶς ἐν τῇ ἀλλοτρίᾳ τοὺς περὶ τῶν οἰκείων ἀμυνομένους μαχόμενοι τὰ πλείω κρατοῦμεν. ἁθρόᾳ τε τῇ δυνάμει ἡμῶν οὐδείς πω πολέμιος ἐνέτυχε διὰ τὴν τοῦ ναυτικοῦ τε ἅμα ἐπιμέλειαν καὶ τὴν ἐν τῇ γῇ ἐπὶ πολλὰ ἡμῶν αὐτῶν ἐπίπεμψιν· ἢν δέ που μορίῳ τινὶ προσμείξωσι, κρατήσαντές τέ τινας ἡμῶν πάντας αὐχοῦσιν ἀπεῶσθαι καὶ νικηθέντες ὑφ' ἁπάντων ἡσσῆσθαι. καίτοι εἰ ῥᾳθυμίᾳ μᾶλλον ἢ πόνων μελέτῃ καὶ μὴ μετὰ νόμων τὸ πλέον ἢ τρόπων ἀνδρείας ἐθέλομεν κινδυνεύειν, περιγίγνεται ἡμῖν τοῖς τε μέλλουσιν ἀλγεινοῖς μὴ προκάμνειν, καὶ ἐς αὐτὰ ἐλθοῦσι μὴ ἀτολμοτέρους τῶν αἰεὶ μοχθούντων φαίνεσθαι, καὶ ἔν τε τούτοις

τὴν πόλιν ἀξίαν εἶναι θαυμάζεσθαι καὶ ἔτι ἐν ἄλλοις. **40.** Φιλοκαλοῦμέν τε γὰρ μετ' εὐτελείας καὶ φιλοσοφοῦμεν ἄνευ μαλακίας· πλούτῳ τε ἔργου μᾶλλον καιρῷ ἢ λόγου κόμπῳ χρώμεθα, καὶ τὸ πένεσθαι οὐχ ὁμολογεῖν τινὶ αἰσχρόν, ἀλλὰ μὴ διαφεύγειν ἔργῳ αἴσχιον. ἔνι τε τοῖς αὐτοῖς οἰκείων ἅμα καὶ πολιτικῶν ἐπιμέλεια καὶ ἑτέροις [ἕτερα] πρὸς ἔργα τετραμμένοις τὰ πολιτικὰ μὴ ἐνδεῶς γνῶναι· μόνοι γὰρ τόν τε μηδὲν τῶνδε μετέχοντα οὐκ ἀπράγμονα, ἀλλ' ἀχρεῖον νομίζομεν, καὶ αὐτοὶ ἤτοι κρίνομέν γε ἢ ἐνθυμούμεθα ὀρθῶς τὰ πράγματα, οὐ τοὺς λόγους τοῖς ἔργοις βλάβην ἡγούμενοι, ἀλλὰ μὴ προδιδαχθῆναι μᾶλλον λόγῳ πρότερον ἢ ἐπὶ ἃ δεῖ ἔργῳ ἐλθεῖν. διαφερόντως γὰρ δὴ καὶ τόδε ἔχομεν ὥστε τολμᾶν τε οἱ αὐτοὶ μάλιστα καὶ περὶ ὧν ἐπιχειρήσομεν ἐκλογίζεσθαι· ὃ τοῖς ἄλλοις ἀμαθία μὲν θράσος, λογισμὸς δὲ ὄκνον φέρει. κράτιστοι δ' ἂν τὴν ψυχὴν δικαίως κριθεῖεν οἱ τά τε δεινὰ καὶ ἡδέα σαφέστατα γιγνώσκοντες καὶ διὰ ταῦτα μὴ ἀποτρεπόμενοι ἐκ τῶν κινδύνων. καὶ τὰ ἐς ἀρετὴν ἐναντιώμεθα τοῖς πολλοῖς· οὐ γὰρ πάσχοντες εὖ, ἀλλὰ δρῶντες κτώμεθα τοὺς φίλους. βεβαιότερος δὲ ὁ δράσας τὴν χάριν ὥστε ὀφειλομένην δι' εὐνοίας ᾧ δέδωκε σῴζειν. ὁ δὲ ἀντοφείλων ἀμβλύτερος, εἰδὼς οὐκ ἐς χάριν, ἀλλ' ἐς ὀφείλημα τὴν ἀρετὴν ἀποδώσων. καὶ μόνοι οὐ τοῦ ξυμφέροντος μᾶλλον λογισμῷ ἢ τῆς ἐλευθερίας τῷ πιστῷ ἀδεῶς τινὰ ὠφελοῦμεν. **41.** Ξυνελών τε λέγω τήν τε πᾶσαν πόλιν τῆς Ἑλλάδος παίδευσιν εἶναι καὶ καθ' ἕκαστον δοκεῖν ἄν μοι τὸν αὐτὸν ἄνδρα παρ' ἡμῶν ἐπὶ πλεῖστ' ἂν εἴδη καὶ μετὰ χαρίτων μάλιστ' ἂν εὐτραπέλως τὸ σῶμα αὔταρκες παρέχεσθαι. καὶ ὡς οὐ λόγων ἐν τῷ παρόντι κόμπος τάδε μᾶλλον ἢ ἔργων ἐστὶν ἀλήθεια, αὐτὴ ἡ δύναμις τῆς πόλεως, ἣν ἀπὸ τῶνδε τῶν τρόπων ἐκτησάμεθα, σημαίνει. μόνη γὰρ τῶν νῦν ἀκοῆς κρείσσων ἐς πεῖραν ἔρχεται, καὶ μόνη οὔτε τῷ πολεμίῳ ἐπελθόντι ἀγανάκτησιν ἔχει ὑφ' οἵων κακοπαθεῖ οὔτε τῷ ὑπηκόῳ κατάμεμψιν ὡς οὐχ ὑπ' ἀξίων ἄρχεται. μετὰ μεγάλων δὲ σημείων καὶ οὐ δή τοι ἀμάρτυρόν γε τὴν δύναμιν παρασχόμενοι τοῖς τε νῦν καὶ τοῖς ἔπειτα θαυμασθησόμεθα, καὶ οὐδὲν προσδεόμενοι οὔτε Ὁμήρου ἐπαινέτου οὔτε ὅστις ἔπεσι μὲν τὸ αὐτίκα τέρψει, τῶν δ' ἔργων τὴν ὑπόνοιαν ἡ ἀλήθεια βλάψει, ἀλλὰ πᾶσαν μὲν θάλασσαν καὶ γῆν ἐσβατὸν τῇ ἡμετέρᾳ τόλμῃ καταναγκάσαντες γενέσθαι, πανταχοῦ δὲ μνημεῖα κακῶν τε κἀγαθῶν ἀίδια ξυγκατοικίσαντες. περὶ τοιαύτης οὖν πόλεως οἵδε τε γενναίως δικαιοῦντες μὴ ἀφαιρεθῆναι αὐτὴν μαχόμενοι ἐτελεύτησαν, καὶ τῶν λειπομένων πάντα τινὰ εἰκὸς ἐθέλειν ὑπὲρ αὐτῆς κάμνειν.»

Фукидид (ок. 460 – 395 гг. до н. э.) – автор «Истории Пелопонесской войны» в восьми книгах, доведенной до 411 г. до н. э. Во вступлении Фукидид говорит о рационалистическом аспекте и точности своего труда (I. 22). Во 2-й книге (главы 35 – 46) приводится речь Перикла над воинами, павшими в первый год войны; эта речь – своего рода политическая программа афинской демократии периода ее расцвета.

I.22. τὸ μὴ μυθῶδες – μή (а не οὐ) для передачи обобщающего смысла. κρίνειν подразум. τούτους. αὐτά т. е. «мое произведение». ξύγκειται т. е. ξυντέθειται.

II.37. οὐ ζηλούσῃ...νόμους возможный намек на спартанские законы, заимствованные у Крита. παράδειγμα...τινι по-видимому, для Элиды, Аргоса, Сиракуз. ὄνομα аккузатив, т. к. при κέκληται подразумевается подлежащее ἡ ἡμετέρα πολιτεία. οἰκεῖν подразум. ἡμᾶς. οὐκ...τὸ πλεῖον ἤ = ἧσσον ἤ т. е. οὐκ ἀπὸ μέρους, ἀλλ' ἀπὸ ἀρετῆς. ἔχων как будто этому предшествовало πένης μὲν ὤν. τὰ δημόσια аккузатив внутреннего дополнения. αὐτῶν genetivus partitivus. φέρουσιν подразум. τοῖς παρανομοῦσιν.

38. νομίζοντες в сочетании с дативом.

39. ταῖς μελέταις...τοῖσδε частое у Фукидида сочетание слов в дативе. οἱ μέν т. е. спартанцы. ἐν ἀλλοτρίᾳ подразум. γῇ. οὐ χαλεπῶς относится к κρατοῦμεν. ἡμῶν αὐτῶν genetivus partitivus, подразум. ἄνδρας. ἐθέλομεν есть другое чтение: ἐθέλοιμεν. τοῖς ἀλγεινοῖς dativus causae. ἐς αὐτά подразум. τὰ ἀλγεινά. перед εἶναι легко подразумевается οἶμαι, νομίζω, φημί, λέγω.

40. ἔργου καιρῷ...λόγου κόμπῳ именная часть сказуемого к πλούτῳ. οὐχ относится к αἰσχρόν. ἔνι τοῖς αὐτοῖς подразум. ἐστί. ἕτερα добавлено издателями на основании общего смысла. κρίνομέν γε ... ἐλθεῖν речь идет об ἐκκλησία. ἀλλὰ μὴ... конструкция для перевода: ἀλλὰ μᾶλλον (βλάβην ἡγούμενοι) μὴ πρότερον λόγῳ προδιδαχθῆναι ἢ ἔργῳ ἐλθεῖν... διαφερόντως подразум. τῶν ἄλλων. μάλιστα относится к τολμᾶν и λογίζεσθαι. ἠναντιώμεθα обратить внимание на перфект. εὖ относится и к δρῶντες. ὥστε по значению близко к ὡς.

41. σῶμα здесь в значении «личность». ἄν относится к παρέχεσθαι. ἐν τῷ παρόντι в значении наречия. ὑφ' οἵων т. е. со

стороны афинян. τῷ πολεμίῳ и τῷ ὑπηκόῳ единств. число в обобщающем значении. τοῖς νῦν...τοῖς ἔπειτα dativus auctoris. τῶν ἔργων относится к ἡ ἀλήθεια и к τὴν ὑπόνοιαν. ἀλλὰ πᾶσαν спорно, чему противопоставляется οὐ προσδεόμενοι или παρασχόμενοι.

Ξενοφῶντος

Κύρου Ἀνάβασις

Первая книга.

I.1. Δαρείου καὶ Παρυσάτιδος γίγνονται παῖδες δύο, πρεσβύτερος μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος· ἐπεὶ δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τελευτὴν τοῦ βίου, ἐβούλετο τὼ παῖδε ἀμφοτέρω παρεῖναι. **2.** ὁ μὲν οὖν πρεσβύτερος παρὼν ἐτύγχανε· Κῦρον δὲ μεταπέμπεται ἀπὸ τῆς ἀρχῆς ἧς αὐτὸν σατράπην ἐποίησε, καὶ στρατηγὸν δὲ αὐτὸν ἀπέδειξε πάντων ὅσοι εἰς Καστωλοῦ πεδίον ἀθροίζονται. ἀναβαίνει οὖν ὁ Κῦρος λαβὼν Τισσαφέρνην ὡς φίλον, καὶ τῶν Ἑλλήνων ἔχων ὁπλίτας [ἀνέβη] τριακοσίους, ἄρχοντα δὲ αὐτῶν Ξενίαν Παρράσιον. **3.** Ἐπεὶ δὲ ἐτελεύτησε Δαρεῖος καὶ κατέστη εἰς τὴν βασιλείαν Ἀρταξέρξης, Τισσαφέρνης διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφὸν ὡς ἐπιβουλεύοι αὐτῷ. ὁ δὲ πείθεται καὶ συλλαμβάνει Κῦρον ὡς ἀποκτενῶν· ἡ δὲ μήτηρ ἐξαιτησαμένη αὐτὸν ἀποπέμπει πάλιν ἐπὶ τὴν ἀρχήν.

4. Ὁ δ' ὡς ἀπῆλθε κινδυνεύσας καὶ ἀτιμασθείς, βουλεύεται ὅπως μήποτε ἔτι ἔσται ἐπὶ τῷ ἀδελφῷ, ἀλλά, ἢν δύνηται, βασιλεύσει ἀντ' ἐκείνου. Παρύσατις μὲν δὴ ἡ μήτηρ ὑπῆρχε τῷ Κύρῳ, φιλοῦσα αὐτὸν μᾶλλον ἢ τὸν βασιλεύοντα Ἀρταξέρξην. **5.** Ὅστις δ' ἀφικνεῖτο τῶν παρὰ βασιλέως πρὸς αὐτὸν πάντας οὕτω διατιθεὶς ἀπεπέμπετο ὥστε αὐτῷ μᾶλλον φίλους εἶναι ἢ βασιλεῖ. καὶ τῶν παρ' ἑαυτῷ δὲ βαρβάρων ἐπεμελεῖτο ὡς πολεμεῖν τε ἱκανοὶ εἴησαν καὶ εὐνοϊκῶς ἔχοιεν αὐτῷ. **6.** Τὴν δὲ Ἑλληνικὴν δύναμιν ἤθροιζεν ὡς μάλιστα ἐδύνατο ἐπικρυπτόμενος, ὅπως ὅτι ἀπαρασκευότατον λάβοι βασιλέα.

Ὧδε οὖν ἐποιεῖτο τὴν συλλογήν· ὁπόσας εἶχε φυλακὰς ἐν ταῖς πόλεσι παρήγγειλε τοῖς φρουράρχοις ἑκάστοις λαμβάνειν ἄνδρας Πελοποννησίους ὅτι πλείστους καὶ βελτίστους, ὡς ἐπιβουλεύοντος Τισσαφέρνους ταῖς πόλεσι. καὶ γὰρ ἦσαν αἱ Ἰωνικαὶ πόλεις Τισσαφέρνους τὸ ἀρχαῖον ἐκ βασιλέως δεδομέναι, τότε δὲ

ἀφειστήκεσαν πρὸς Κῦρον πᾶσαι πλὴν Μιλήτου· 7. ἐν Μιλήτῳ δὲ Τισσαφέρνης προαισθόμενος τὰ αὐτὰ ταῦτα βουλευομένους, ἀποστῆναι πρὸς Κῦρον, τοὺς μὲν αὐτῶν ἀπέκτεινε τοὺς δ' ἐξέβαλεν. ὁ δὲ Κῦρος ὑπολαβὼν τοὺς φεύγοντας συλλέξας στράτευμα ἐπολιόρκει Μίλητον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν, καὶ ἐπειρᾶτο κατάγειν τοὺς ἐκπεπτωκότας. καὶ αὕτη αὖ ἄλλη πρόφασις ἦν αὐτῷ τοῦ ἀθροίζειν στράτευμα. 8. Πρὸς δὲ βασιλέα πέμπων ἠξίου ἀδελφὸς ὢν αὐτοῦ δοθῆναι οἱ ταύτας τὰς πόλεις μᾶλλον ἢ Τισσαφέρνην ἄρχειν αὐτῶν, καὶ ἡ μήτηρ συνέπραττεν αὐτῷ ταῦτα· ὥστε βασιλεὺς τὴν μὲν πρὸς ἑαυτὸν ἐπιβουλὴν οὐκ ᾐσθάνετο, Τισσαφέρνει δ' ἐνόμιζε πολεμοῦντα αὐτὸν ἀμφὶ τὰ στρατεύματα δαπανᾶν· ὥστε οὐδὲν ἤχθετο αὐτῶν πολεμούντων. καὶ γὰρ ὁ Κῦρος ἀπέπεμπε τοὺς γιγνομένους δασμοὺς βασιλεῖ ἐκ τῶν πόλεων ὧν Τισσαφέρνης [ἔτι] ἐτύγχανεν ἔχων.

9. Ἄλλο δὲ στράτευμα αὐτῷ συνελέγετο ἐν Χερρονήσῳ τῇ κατ' ἀντιπέρας Ἀβύδου τόνδε τὸν τρόπον. Κλέαρχος Λακεδαιμόνιος φυγὰς ἦν· τούτῳ συγγενόμενος ὁ Κῦρος ἠγάσθη τε αὐτὸν καὶ δίδωσιν αὐτῷ μυρίους δαρεικούς. ὁ δὲ λαβὼν τὸ χρυσίον στράτευμα συνέλεξεν ἀπὸ τούτων τῶν χρημάτων καὶ ἐπολέμει ἐκ Χερρονήσου ὁρμώμενος τοῖς Θρᾳξὶ τοῖς ὑπὲρ Ἑλλήσποντον οἰκοῦσι καὶ ὠφέλει τοὺς Ἕλληνας· ὥστε καὶ χρήματα συνεβάλλοντο αὐτῷ εἰς τὴν τροφὴν τῶν στρατιωτῶν αἱ Ἑλλησποντιακαὶ πόλεις ἑκοῦσαι. τοῦτο δ' αὖ οὕτω τρεφόμενον ἐλάνθανεν αὐτῷ τὸ στράτευμα.

10. Ἀρίστιππος δὲ ὁ Θετταλὸς ξένος ὢν ἐτύγχανεν αὐτῷ, καὶ πιεζόμενος ὑπὸ τῶν οἴκοι ἀντιστασιωτῶν ἔρχεται πρὸς τὸν Κῦρον καὶ αἰτεῖ αὐτὸν εἰς δισχιλίους ξένους καὶ τριῶν μηνῶν μισθόν, ὡς οὕτως περιγενόμενος ἂν τῶν ἀντιστασιωτῶν. ὁ δὲ Κῦρος δίδωσιν αὐτῷ εἰς τετρακισχιλίους καὶ ἓξ μηνῶν μισθόν, καὶ δεῖται αὐτοῦ μὴ πρόσθεν καταλῦσαι πρὸς τοὺς ἀντιστασιώτας πρὶν ἂν αὐτῷ συμβουλεύσηται. οὕτω δὲ αὖ τὸ ἐν Θετταλίᾳ ἐλάνθανεν αὐτῷ τρεφόμενον στράτευμα.

11. Πρόξενον δὲ τὸν Βοιώτιον ξένον ὄντα ἐκέλευσε λαβόντα ἄνδρας ὅτι πλείστους παραγενέσθαι, ὡς ἐς Πισίδας βουλόμενος στρατεύεσθαι, ὡς πράγματα παρεχόντων τῶν Πισιδῶν τῇ ἑαυτοῦ χώρᾳ. Σοφαίνετον δὲ τὸν Στυμφάλιον καὶ Σωκράτην τὸν Ἀχαιόν, ξένους ὄντας καὶ τούτους, ἐκέλευσεν ἄνδρας λαβόντας ἐλθεῖν ὅτι πλείστους, ὡς πολεμήσων Τισσαφέρνει σὺν τοῖς φυγάσι τοῖς Μιλησίων. καὶ ἐποίουν οὕτως οὗτοι.

II.1. Ἐπεὶ δ' ἐδόκει ἤδη πορεύεσθαι αὐτῷ ἄνω, τὴν μεν προφασιν ἐποιεῖτο ὡς Πισίδας βουλόμενος ἐκβαλεῖν παντάπασιν ἐκ τῆς χώρας· καὶ ἀθροίζει ὡς ἐπὶ τούτους τό τε βαρβαρικὸν καὶ τὸ Ἑλληνικόν. ἐνταῦθα καὶ παραγγέλλει τῷ τε Κλεάρχῳ λαβόντι ἥκειν ὅσον ἦν αὐτῷ στράτευμα καὶ τῷ Ἀριστίππῳ συναλλαγέντι πρὸς τοὺς οἴκοι ἀποπέμψαι πρὸς ἑαυτὸν ὃ εἶχε στράτευμα· καὶ Ξενίᾳ τῷ Ἀρκάδι, ὃς αὐτῷ προειστήκει τοῦ ἐν ταῖς πόλεσι ξενικοῦ, ἥκειν παραγγέλλει λαβόντα [τοὺς ἄλλους] πλὴν ὁπόσοι ἱκανοὶ ἦσαν τὰς ἀκροπόλεις φυλάττειν. 2. Ἐκάλεσε δὲ καὶ τοὺς Μίλητον πολιορκοῦντας, καὶ τοὺς φυγάδας ἐκέλευσε σὺν αὐτῷ στρατεύεσθαι, ὑποσχόμενος αὐτοῖς, εἰ καλῶς καταπράξειεν ἐφ' ἃ ἐστρατεύετο, μὴ πρόσθεν παύσεσθαι πρὶν αὐτοὺς καταγάγοι οἴκαδε. οἳ δὲ ἡδέως ἐπείθοντο· ἐπίστευον γὰρ αὐτῷ· καὶ λαβόντες τὰ ὅπλα παρῆσαν εἰς Σάρδεις. 3. Ξενίας μὲν δὴ τοὺς ἐκ τῶν πόλεων λαβὼν παρεγένετο εἰς Σάρδεις ὁπλίτας εἰς τετρακισχιλίους, Πρόξενος δὲ παρῆν ἔχων ὁπλίτας μὲν εἰς πεντακοσίους καὶ χιλίους, γυμνῆτας δὲ πεντακοσίους, Σοφαίνετος δὲ ὁ Στυμφάλιος ὁπλίτας ἔχων χιλίους, Σωκράτης δὲ ὁ Ἀχαιὸς ὁπλίτας ἔχων ὡς πεντακοσίους, Πασίων δὲ ὁ Μεγαρεὺς τριακοσίους μὲν ὁπλίτας, τριακοσίους δὲ πελταστὰς ἔχων παρεγένετο· ἦν δὲ καὶ οὗτος καὶ ὁ Σωκράτης τῶν ἀμφὶ Μίλητον στρατευομένων. οὗτοι μὲν εἰς Σάρδεις αὐτῷ ἀφίκοντο.

4. Τισσαφέρνης δὲ κατανοήσας ταῦτα, καὶ μείζονα ἡγησάμενος εἶναι ἢ ὡς ἐπὶ Πισίδας τὴν παρασκευήν, πορεύεται ὡς βασιλέα ᾗ ἐδύνατο τάχιστα, ἱππέας ἔχων ὡς πεντακοσίους. 5. καὶ βασιλεὺς μὲν δὴ ἐπεὶ ἤκουσε Τισσαφέρνους τὸν Κύρου στόλον, ἀντιπαρεσκευάζετο.

Κῦρος δὲ ἔχων οὓς εἴρηκα ὡρμᾶτο ἀπὸ Σάρδεων· καὶ ἐξελαύνει διὰ τῆς Λυδίας σταθμοὺς τρεῖς παρασάγγας εἴκοσι καὶ δύο ἐπὶ τὸν Μαίανδρον ποταμόν. τούτου τὸ εὖρος δύο πλέθρα· γέφυρα δὲ ἐπην ἑπτὰ ἐζευγμένη πλοίοις. 6. Τοῦτον διαβὰς ἐξελαύνει διὰ Φρυγίας σταθμὸν ἕνα παρασάγγας ὀκτὼ εἰς Κολοσσάς, πόλιν οἰκουμένην καὶ εὐδαίμονα καὶ μεγάλην. ἐνταῦθα ἔμεινεν ἡμέρας ἑπτά· καὶ ἧκε Μένων ὁ Θετταλὸς ὁπλίτας ἔχων χιλίους καὶ πελταστὰς πεντακοσίους, Δόλοπας καὶ Αἰνιᾶνας καὶ Ὀλυνθίους. 7. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας εἴκοσιν εἰς Κελαινάς, τῆς Φρυγίας πόλιν οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα. ἐνταῦθα Κύρῳ βασίλεια ἦν καὶ παράδεισος μέγας ἀγρίων θηρίων πλήρης, ἃ ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου, ὁπότε γυμνάσαι βούλοιτο ἑαυτόν τε καὶ τοὺς ἵππους. διὰ μέσου δὲ τοῦ

παραδείσου ῥεῖ ὁ Μαίανδρος ποταμός· αἱ δὲ πηγαὶ αὐτοῦ εἰσιν ἐκ τῶν βασιλείων· ῥεῖ δὲ καὶ διὰ τῆς Κελαινῶν πόλεως. 8. Ἔστι δὲ καὶ μεγάλου βασιλέως βασίλεια ἐν Κελαιναῖς ἐρυμνὰ ἐπὶ ταῖς πηγαῖς τοῦ Μαρσύου ποταμοῦ ὑπὸ τῇ ἀκροπόλει· ῥεῖ δὲ καὶ οὗτος διὰ τῆς πόλεως καὶ ἐμβάλλει εἰς τὸν Μαίανδρον· τοῦ δὲ Μαρσύου τὸ εὖρός ἐστιν εἴκοσι καὶ πέντε ποδῶν. ἐνταῦθα λέγεται Ἀπόλλων ἐκδεῖραι Μαρσύαν νικήσας ἐρίζοντά οἱ περὶ σοφίας, καὶ τὸ δέρμα κρεμάσαι ἐν τῷ ἄντρῳ ὅθεν αἱ πηγαί· διὰ δὲ τοῦτο ὁ ποταμὸς καλεῖται Μαρσύας. 9. Ἐνταῦθα Ξέρξης, ὅτε ἐκ τῆς Ἑλλάδος ἡττηθεὶς [τῇ μάχῃ] ἀπεχώρει, λέγεται οἰκοδομῆσαι ταῦτά τε τὰ βασίλεια καὶ τὴν Κελαινῶν ἀκρόπολιν. ἐνταῦθα ἔμεινε Κῦρος ἡμέρας τριάκοντα· καὶ ἧκε Κλέαρχος ὁ Λακεδαιμόνιος φυγὰς ἔχων ὁπλίτας χιλίους καὶ πελταστὰς Θρᾷκας ὀκτακοσίους καὶ τοξότας Κρῆτας διακοσίους. ἅμα δὲ καὶ Σῶσις παρῆν ὁ Συρακόσιος ἔχων ὁπλίτας τριακοσίους, καὶ Σοφαίνετος Ἀρκάδας ἔχων ὁπλίτας χιλίους. καὶ ἐνταῦθα Κῦρος ἐξέτασιν καὶ ἀριθμὸν τῶν Ἑλλήνων ἐποίησεν ἐν τῷ παραδείσῳ, καὶ ἐγένοντο οἱ σύμπαντες ὁπλῖται μὲν μύριοι χίλιοι, πελτασταὶ δὲ ἀμφὶ τοὺς δισχιλίους.

10. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δέκα εἰς Πέλτας, πόλιν οἰκουμένην. ἐνταῦθ' ἔμεινεν ἡμέρας τρεῖς· ἐν αἷς Ξενίας ὁ Ἀρκὰς τὰ Λύκαια ἔθυσε καὶ ἀγῶνα ἔθηκε· τὰ δὲ ἆθλα ἦσαν στλεγγίδες χρυσαῖ· ἐθεώρει δὲ τὸν ἀγῶνα καὶ Κῦρος. ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δώδεκα ἐς Κεράμων ἀγοράν, πόλιν οἰκουμένην, ἐσχάτην πρὸς τῇ Μυσίᾳ χώρᾳ. **11.** Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας τριάκοντα εἰς Καΰστρου πεδίον, πόλιν οἰκουμένην. ἐνταῦθ' ἔμεινεν ἡμέρας πέντε· καὶ τοῖς στρατιώταις ὠφείλετο μισθὸς πλέον ἢ τριῶν μηνῶν, καὶ πολλάκις ἰόντες ἐπὶ τὰς θύρας ἀπῄτουν. ὁ δὲ ἐλπίδας λέγων διῆγε καὶ δῆλος ἦν ἀνιώμενος· οὐ γὰρ ἦν πρὸς τοῦ Κύρου τρόπου ἔχοντα μὴ ἀποδιδόναι. **12.** Ἐνταῦθα ἀφικνεῖται Ἐπύαξα ἡ Συεννέσιος γυνὴ τοῦ Κιλίκων βασιλέως παρὰ Κῦρον· καὶ ἐλέγετο Κύρῳ δοῦναι χρήματα πολλά. τῇ δ' οὖν στρατιᾷ τότε ἀπέδωκε Κῦρος μισθὸν τεττάρων μηνῶν. εἶχε δὲ ἡ Κίλισσα φυλακὴν [καὶ φύλακας] περὶ αὐτὴν Κίλικας καὶ Ἀσπενδίους· ἐλέγετο δὲ καὶ συγγενέσθαι Κῦρον τῇ Κιλίσσῃ.

13. Ἐντεῦθεν δὲ ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δέκα εἰς Θύμβριον, πόλιν οἰκουμένην. ἐνταῦθα ἦν παρὰ τὴν ὁδὸν κρήνη ἡ Μίδου καλουμένη τοῦ Φρυγῶν βασιλέως, ἐφ' ᾗ λέγεται Μίδας τὸν Σάτυρον

θηρεῦσαι οἴνῳ κεράσας αὐτήν. **14.** Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο παρασάγγας δέκα εἰς Τυριάειον, πόλιν οἰκουμένην. ἐνταῦθα ἔμεινεν ἡμέρας τρεῖς. καὶ λέγεται δεηθῆναι ἡ Κίλισσα Κύρου ἐπιδεῖξαι τὸ στράτευμα αὐτῇ· βουλόμενος οὖν ἐπιδεῖξαι ἐξέτασιν ποιεῖται ἐν τῷ πεδίῳ τῶν Ἑλλήνων καὶ τῶν βαρβάρων. **15.** Ἐκέλευσε δὲ τοὺς Ἕλληνας ὡς νόμος αὐτοῖς εἰς μάχην οὕτω ταχθῆναι καὶ στῆναι, συντάξαι δ' ἕκαστον τοὺς ἑαυτοῦ. ἐτάχθησαν οὖν ἐπὶ τεττάρων· εἶχε δὲ τὸ μὲν δεξιὸν Μένων καὶ οἱ σὺν αὐτῷ, τὸ δὲ εὐώνυμον Κλέαρχος καὶ οἱ [ἐξ] ἐκείνου, τὸ δὲ μέσον οἱ ἄλλοι στρατηγοί. **16.** Ἐθεώρει οὖν ὁ Κῦρος πρῶτον μὲν τοὺς βαρβάρους· οἱ δὲ παρήλαυνον τεταγμένοι κατὰ ἴλας καὶ κατὰ τάξεις· εἶτα δὲ τοὺς Ἕλληνας, παρελαύνων ἐφ' ἅρματος καὶ ἡ Κίλισσα ἐφ' ἁρμαμάξης. εἶχον δὲ πάντες κράνη χαλκᾶ καὶ χιτῶνας φοινικοῦς καὶ κνημῖδας καὶ τὰς ἀσπίδας ἐκκεκαλυμμένας. **17.** Ἐπειδὴ δὲ πάντας παρήλασε, στήσας τὸ ἅρμα πρὸ τῆς φάλαγγος μέσης, πέμψας Πίγρητα τὸν ἑρμηνέα παρὰ τοὺς στρατηγοὺς τῶν Ἑλλήνων ἐκέλευσε προβαλέσθαι τὰ ὅπλα καὶ ἐπιχωρῆσαι ὅλην τὴν φάλαγγα. οἱ δὲ ταῦτα προεῖπον τοῖς στρατιώταις· καὶ ἐπεὶ ἐσάλπιγξε, προβαλόμενοι τὰ ὅπλα ἐπῆσαν. ἐκ δὲ τούτου θᾶττον προϊόντων σὺν κραυγῇ ἀπὸ τοῦ αὐτομάτου δρόμος ἐγένετο τοῖς στρατιώταις ἐπὶ τὰς σκηνάς, τῶν δὲ βαρβάρων φόβος πολύς, **18.** καὶ ἥ τε Κίλισσα ἔφυγεν ἐπὶ τῆς ἁρμαμάξης καὶ οἱ ἐκ τῆς ἀγορᾶς καταλιπόντες τὰ ὤνια ἔφυγον. οἱ δὲ Ἕλληνες σὺν γέλωτι ἐπὶ τὰς σκηνὰς ἦλθον. ἡ δὲ Κίλισσα ἰδοῦσα τὴν λαμπρότητα καὶ τὴν τάξιν τοῦ στρατεύματος ἐθαύμασε. Κῦρος δὲ ἥσθη τὸν ἐκ τῶν Ἑλλήνων εἰς τοὺς βαρβάρους φόβον ἰδών.

19. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς τρεῖς παρασάγγας εἴκοσιν εἰς Ἰκόνιον, τῆς Φρυγίας πόλιν ἐσχάτην. ἐνταῦθα ἔμεινε τρεῖς ἡμέρας. ἐντεῦθεν ἐξελαύνει διὰ τῆς Λυκαονίας σταθμοὺς πέντε παρασάγγας τριάκοντα. ταύτην τὴν χώραν ἐπέτρεψε διαρπάσαι τοῖς Ἕλλησιν ὡς πολεμίαν οὖσαν. **20.** Ἐντεῦθεν Κῦρος τὴν Κίλισσαν εἰς τὴν Κιλικίαν ἀποπέμπει τὴν ταχίστην ὁδόν· καὶ συνέπεμψεν αὐτῇ [στρατιώτας] οὓς Μένων εἶχε καὶ αὐτόν. Κῦρος δὲ μετὰ τῶν ἄλλων ἐξελαύνει διὰ Καππαδοκίας σταθμοὺς τέτταρας παρασάγγας εἴκοσι καὶ πέντε πρὸς Δάναν, πόλιν οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα. ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς· ἐν ᾧ Κῦρος ἀπέκτεινεν ἄνδρα Πέρσην Μεγαφέρνην, φοινικιστὴν βασίλειον, καὶ ἕτερόν τινα [τῶν ὑπάρχων] δυνάστην, αἰτιασάμενος ἐπιβουλεύειν αὐτῷ.

21. Ἐντεῦθεν ἐπειρῶντο εἰσβάλλειν εἰς τὴν Κιλικίαν· ἡ δὲ εἰσβολὴ ἦν [ὁδὸς] ἁμαξιτὸς ὀρθία ἰσχυρῶς καὶ ἀμήχανος εἰσελθεῖν στρατεύματι, εἴ τις ἐκώλυεν. ἐλέγετο δὲ καὶ Συέννεσις εἶναι ἐπὶ τῶν ἄκρων φυλάττων τὴν εἰσβολήν· διὸ ἔμεινεν ἡμέραν ἐν τῷ πεδίῳ. τῇ δ᾽ ὑστεραίᾳ ἧκεν ἄγγελος λέγων ὅτι λελοιπὼς εἴη Συέννεσις τὰ ἄκρα, ἐπεὶ ᾔσθετο ὅτι τὸ Μένωνος στράτευμα ἤδη ἐν Κιλικίᾳ ἦν εἴσω τῶν ὀρέων, καὶ ὅτι τριήρεις ἤκουε περιπλεούσας ἀπ᾽ Ἰωνίας εἰς Κιλικίαν Ταμὼν ἔχοντα τὰς Λακεδαιμονίων καὶ αὐτοῦ Κύρου. 22. Κῦρος δ᾽ οὖν ἀνέβη ἐπὶ τὰ ὄρη οὐδενὸς κωλύοντος, καὶ εἶδε τὰς σκηνὰς οὗ οἱ Κίλικες ἐφύλαττον. ἐντεῦθεν δὲ κατέβαινεν εἰς πεδίον μέγα καὶ καλόν, ἐπίρρυτον, καὶ δένδρων παντοδαπῶν σύμπλεων καὶ ἀμπέλων· πολὺ δὲ καὶ σήσαμον καὶ μελίνην καὶ κέγχρον καὶ πυροὺς καὶ κριθὰς φέρει. ὄρος δ᾽ αὐτὸ περιεῖχεν ὀχυρὸν καὶ ὑψηλὸν πάντῃ ἐκ θαλάττης εἰς θάλατταν. 23. Καταβὰς δὲ διὰ τούτου τοῦ πεδίου ἤλασε σταθμοὺς τέτταρας παρασάγγας πέντε καὶ εἴκοσιν εἰς Ταρσούς, τῆς Κιλικίας πόλιν μεγάλην καὶ εὐδαίμονα, οὗ ἦν τὰ Συεννέσιος βασίλεια τοῦ Κιλίκων βασιλέως· διὰ μέσου δὲ τῆς πόλεως ῥεῖ ποταμὸς Κύδνος ὄνομα, εὖρος δύο πλέθρων. 24. Ταύτην τὴν πόλιν ἐξέλιπον οἱ ἐνοικοῦντες μετὰ Συεννέσιος εἰς χωρίον ὀχυρὸν ἐπὶ τὰ ὄρη πλὴν οἱ τὰ καπηλεῖα ἔχοντες· ἔμειναν δὲ καὶ οἱ παρὰ τὴν θάλατταν οἰκοῦντες ἐν Σόλοις καὶ ἐν Ἰσσοῖς.

25. Ἐπύαξα δὲ ἡ Συεννέσιος γυνὴ προτέρα Κύρου πέντε ἡμέραις εἰς Ταρσοὺς ἀφίκετο· ἐν δὲ τῇ ὑπερβολῇ τῶν ὀρέων τῇ εἰς τὸ πεδίον δύο λόχοι τοῦ Μένωνος στρατεύματος ἀπώλοντο· οἱ μὲν ἔφασαν ἁρπάζοντάς τι κατακοπῆναι ὑπὸ τῶν Κιλίκων, οἱ δὲ ὑπολειφθέντας καὶ οὐ δυναμένους εὑρεῖν τὸ ἄλλο στράτευμα οὐδὲ τὰς ὁδοὺς εἶτα πλανωμένους ἀπολέσθαι· ἦσαν δ᾽ οὖν οὗτοι ἑκατὸν ὁπλῖται. 26. Οἱ δ᾽ ἄλλοι ἐπεὶ ἧκον, τήν τε πόλιν τοὺς Ταρσοὺς διήρπασαν, διὰ τὸν ὄλεθρον τῶν συστρατιωτῶν ὀργιζόμενοι, καὶ τὰ βασίλεια τὰ ἐν αὐτῇ. Κῦρος δ᾽ ἐπεὶ εἰσήλασεν εἰς τὴν πόλιν, μετεπέμπετο τὸν Συέννεσιν πρὸς ἑαυτόν· ὁ δ᾽ οὔτε πρότερον οὐδενί πω κρείττονι ἑαυτοῦ εἰς χεῖρας ἐλθεῖν ἔφη οὔτε τότε Κύρῳ ἰέναι ἤθελε, πρὶν ἡ γυνὴ αὐτὸν ἔπεισε καὶ πίστεις ἔλαβε. 27. Μετὰ δὲ ταῦτα ἐπεὶ συνεγένοντο ἀλλήλοις, Συέννεσις μὲν ἔδωκε Κύρῳ χρήματα πολλὰ εἰς τὴν στρατιάν, Κῦρος δὲ ἐκείνῳ δῶρα ἃ νομίζεται παρὰ βασιλεῖ τίμια, ἵππον χρυσοχάλινον καὶ στρεπτὸν χρυσοῦν καὶ ψέλια καὶ ἀκινάκην χρυσοῦν καὶ στολὴν Περσικήν, καὶ

τὴν χώραν μηκέτι διαρπάζεσθαι· τὰ δὲ ἡρπασμένα ἀνδράποδα, ἥν που ἐντυγχάνωσιν, ἀπολαμβάνειν.

VIII.21. Κῦρος δ' ὁρῶν τοὺς Ἕλληνας νικῶντας τὸ καθ' αὐτοὺς καὶ διώκοντας, ἡδόμενος καὶ προσκυνούμενος ἤδη ὡς βασιλεὺς ὑπὸ τῶν ἀμφ' αὐτόν, οὐδ' ὣς ἐξήχθη διώκειν, ἀλλὰ συνεσπειραμένην ἔχων τὴν τῶν σὺν ἑαυτῷ ἑξακοσίων ἱππέων τάξιν ἐπεμελεῖτο ὅ τι ποιήσει βασιλεύς. καὶ γὰρ ᾔδει αὐτόν, ὅτι μέσον ἔχοι τοῦ Περσικοῦ στρατεύματος. **22.** Καὶ πάντες δ' οἱ τῶν βαρβάρων ἄρχοντες μέσον ἔχοντες τὸ αὑτῶν ἡγοῦνται, νομίζοντες οὕτω καὶ ἐν ἀσφαλεστάτῳ εἶναι, ἢν ᾖ ἡ ἰσχὺς αὐτῶν ἑκατέρωθεν, καὶ εἴ τι παραγγεῖλαι χρῄζοιεν, ἡμίσει ἂν χρόνῳ αἰσθάνεσθαι τὸ στράτευμα. **23.** Καὶ βασιλεὺς δὴ τότε μέσον ἔχων τῆς αὑτοῦ στρατιᾶς ὅμως ἔξω ἐγένετο τοῦ Κύρου εὐωνύμου κέρατος. ἐπεὶ δ' οὐδεὶς αὐτῷ ἐμάχετο ἐκ τοῦ ἀντίου οὐδὲ τοῖς αὐτοῦ τεταγμένοις ἔμπροσθεν, ἐπέκαμπτεν ὡς εἰς κύκλωσιν.

24. Ἔνθα δὴ Κῦρος, δείσας μὴ ὄπισθεν γενόμενος κατακόψῃ τὸ Ἑλληνικόν, ἐλαύνει ἀντίος· καὶ ἐμβαλὼν σὺν τοῖς ἑξακοσίοις νικᾷ τοὺς πρὸ βασιλέως τεταγμένους καὶ εἰς φυγὴν ἔτρεψε τοὺς ἑξακισχιλίους, καὶ ἀποκτεῖναι λέγεται αὐτὸς τῇ ἑαυτοῦ χειρὶ Ἀρταγέρσην τὸν ἄρχοντα αὐτῶν. **25.** Ὡς δ' ἡ τροπὴ ἐγένετο, διασπείρονται καὶ οἱ Κύρου ἑξακόσιοι εἰς τὸ διώκειν ὁρμήσαντες, πλὴν πάνυ ὀλίγοι ἀμφ' αὐτὸν κατελείφθησαν, σχεδὸν οἱ ὁμοτράπεζοι καλούμενοι. **26.** Σὺν τούτοις δὲ ὢν καθορᾷ βασιλέα καὶ τὸ ἀμφ' ἐκεῖνον στῖφος· καὶ εὐθὺς οὐκ ἠνέσχετο, ἀλλ' εἰπὼν «Τὸν ἄνδρα ὁρῶ» ἵετο ἐπ' αὐτὸν καὶ παίει κατὰ τὸ στέρνον καὶ τιτρώσκει διὰ τοῦ θώρακος, ὥς φησι Κτησίας ὁ ἰατρός, [ὃς] καὶ ἰάσασθαι αὐτὸς τὸ τραῦμά φησι.

27. Παίοντα δ' αὐτὸν ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν βιαίως· καὶ ἐνταῦθα μαχόμενοι καὶ βασιλεὺς καὶ Κῦρος καὶ οἱ ἀμφ' αὐτοὺς ὑπὲρ ἑκατέρου, ὁπόσοι μὲν τῶν ἀμφὶ βασιλέα ἀπέθνῃσκον, Κτησίας λέγει· παρ' ἐκείνῳ γὰρ ἦν· Κῦρος δὲ αὐτός τε ἀπέθανε καὶ ὀκτὼ οἱ ἄριστοι τῶν περὶ αὐτὸν ἔκειντο ἐπ' αὐτῷ. **28.** Ἀρταπάτης δ' ὁ πιστότατος αὐτῷ τῶν σκηπτούχων θεράπων λέγεται, ἐπειδὴ πεπτωκότα εἶδε Κῦρον, καταπηδήσας ἀπὸ τοῦ ἵππου περιπεσεῖν αὐτῷ. **29.** Καὶ οἳ μέν φασι βασιλέα κελεῦσαί τινα ἐπισφάξαι αὐτὸν Κύρῳ, οἳ δ' ἑαυτὸν ἐπισφάξασθαι σπασάμενον τὸν ἀκινάκην· εἶχε γὰρ χρυσοῦν· καὶ στρεπτὸν δ' ἐφόρει καὶ ψέλια καὶ τἆλλα ὥσπερ οἱ ἄριστοι Περσῶν· ἐτετίμητο γὰρ ὑπὸ Κύρου δι' εὔνοιάν τε καὶ πιστότητα.

VII.21. Καὶ ἀφικνοῦνται ἐπὶ τὸ ὄρος τῇ πέμπτῃ ἡμέρᾳ· ὄνομα δὲ τῷ ὄρει ἦν Θήχης. ἐπεὶ δὲ οἱ πρῶτοι ἐγένοντο ἐπὶ τοῦ ὄρους, καὶ κατεῖδον τὴν θάλατταν, κραυγὴ πολλὴ ἐγένετο. **22.** Ἀκούσας δὲ ὁ Ξενοφῶν καὶ οἱ ὀπισθοφύλακες ᾠήθησαν ἔμπροσθεν ἄλλους ἐπιτίθεσθαι πολεμίους· εἵποντο γὰρ ὄπισθεν ἐκ τῆς καιομένης χώρας, καὶ αὐτῶν οἱ ὀπισθοφύλακες ἀπέκτεινάν τέ τινας καὶ ἐζώγρησαν ἐνέδραν ποιησάμενοι, καὶ γέρρα ἔλαβον δασειῶν βοῶν ὠμοβόεια ἀμφὶ τὰ εἴκοσιν. **23.** Ἐπειδὴ δὲ βοὴ πλείων τε ἐγίγνετο καὶ ἐγγύτερον καὶ οἱ ἀεὶ ἐπιόντες ἔθεον δρόμῳ ἐπὶ τοὺς ἀεὶ βοῶντας καὶ πολλῷ μείζων ἐγίγνετο ἡ βοὴ ὅσῳ δὴ πλείους ἐγίγνοντο, ἐδόκει δὴ μεῖζόν τι εἶναι τῷ Ξενοφῶντι, **24.** καὶ ἀναβὰς ἐφ' ἵππον καὶ Λύκιον καὶ τοὺς ἱππέας ἀναλαβὼν παρεβοήθει· καὶ τάχα δὴ ἀκούουσι βοώντων τῶν στρατιωτῶν «Θάλαττα θάλαττα» καὶ παρεγγυώντων. ἔνθα δὴ ἔθεον πάντες καὶ οἱ ὀπισθοφύλακες, καὶ τὰ ὑποζύγια ἠλαύνετο καὶ οἱ ἵπποι. **25.** Ἐπεὶ δὲ ἀφίκοντο πάντες ἐπὶ τὸ ἄκρον, ἐνταῦθα δὴ περιέβαλλον ἀλλήλους καὶ στρατηγοὺς καὶ λοχαγοὺς δακρύοντες. καὶ ἐξαπίνης ὅτου δὴ παρεγγυήσαντος οἱ στρατιῶται φέρουσι λίθους καὶ ποιοῦσι κολωνὸν μέγαν.

Ксенофонт Афинский (ок. 430 – 355 гг. до н. э.) – ученик Сократа, друг Кира Младшего и Агесилая, автор многих трудов по философии, политике, истории, военному делу, экономике. В «Анабасисе» описывается возвращение в 401 г. до н. э. на родину из Персии десяти тысяч греков-наемников Кира Младшего. В первой книге говорится о походе Кира против царствующего брата Артаксеркса (I – II), о битве при Кунаксах, в которой Кир погиб (VIII, 21 – 29); в четвертой книге речь идет о выходе греков после долгих изнурительных странствий к Понту Эвксинскому в районе Трапезунта (VII, 21 – 25).

1-я книга.

I, 1. Δαρείου καὶ Παρυσάτιδος genetivus originis. γίγνονται praesens historicum.

2. παρὼν ἐτύγχανε см. стр. 160, § 158. τῆς ἀρχῆς Лидии, Великой Фригии, Каппадокии. ἀθροίζονται для смотра.

3. ἐπιβουλεύοι оптатив после praesens historicum διαβάλλει. συλλαμβάνει в каузативном значении: «велит схватить».

4. ὡς = ἐπεί. ἐπί «под властью».

5. τῶν παρὰ βασιλέως = παρὰ βασιλέως τῶν παρὰ βασιλεῖ. πάντας после ὅστις согласовано по смыслу. εὐνοϊκῶς ἔχοιεν – ἔχειν с наречием = εἶναι.

6. ὁπόσας и т. д. – конструкция для перевода: παρήγγειλε τοῖς φρουράρχοις ἑκάστοις (τῶν φυλάκων), ὁπόσας εἶχεν ἐν ταῖς πόλεσιν. ὡς ἐπιβουλεύοντος причина, приводимая действующим лицом (а не автором). Τισσαφέρνους genetivus possessivus. ἐκ = ὑπό.

7. βουλευομένους подразум. Μιλησίους (accusativus cum participio). ἐπολιόρκει imperf. de conatu. αὕτη обратное согласование подлежащего с именной частью сказуемого.

8. πέμπων подразум. ἄγγελον. ἀδελφὸς ὤν для перевода = ἀδελφῷ ὄντι. ὧν = ἅς (attractio pronominis relativi).

9. τρεφόμενον ἐλάνθανεν см. § 158.

10. ξένος человек, с которым заключен священный договор взаимного гостеприимства и поддержки. ὡς οὕτως περιγενόμενος ἄν – ὡς с причастием для обозначения субъективной оценки причины; сочетание причастия с ἄν casus potentialis. καταλῦσαι подразум. πόλεμον.

II.1. πλὴν ὁπόσοι = πλὴν τοσούτων, ὁπόσοι. αὐτῷ = Κύρῳ. ἐφ' ἅ = ταῦτα, ἐφ' ἅ.

3. αὐτῷ dat. commodi.

4. μείζονα ... παρασκευήν полностью было бы: μείζονα ἢ ὡς ἂν ἦν. ὡς βασιλέα – ὡς с аккузативом в значении «к» употребляется только при существительных и местоимениях, обозначающих лицо.

5. οὕς = τούτους οὕς.

7. ὁπότε βούλοιτο optat. iterat. διὰ μέσου τοῦ παραδείσου – μέσου в значении существительного «середина».

8. οἷ = αὐτῷ.

9. τῇ μάχῃ имеется в виду битва при Саламине.

11. δῆλος ἦν ἀνιώμενος nominativus cum participio.

15. νόμος αὐτοῖς подразум. τάττεσθαι. ἕκαστον т. е. στρατηγόν. ἐπὶ τεττάρων по четыре человека в глубину.

16. ἐκκεκαλυμμένας во время марша щиты были покрыты кожаными чехлами.

17. παρήλασε в переходном значении. μέσης в значении существительного. ἐσάλπιγξε подразум. σαλπιγκτής. ἐκ τούτου подразум. τοῦ χρόνου. τοῖς στρατιώταις соединение dativus possessivus с dativus auctoris.

20. ἐν ᾧ = ἐν τούτῳ τῷ χρόνῳ.

21. ᾔσθετο, ὅτι дополнение. ὅτι (= ἐπεί) ... ἤκουε причина.

23. ὄνομα acc. limitationis.

24. ἐξέλιπον ... εἰς покинули и (подраз.) ушли.

26. ἔλαβε подлежащее Συέννεσις.

VIII,21. ᾔδει αὐτόν, ὅτι подлежащее придаточного предложения перенесено в управляющее в виде дополнения (пролепсис).

22. ἂν αἰσθάνεσθαι, ἄν с inf. = optat. с ἄν.

24. κατακόψῃ т. е. βασιλεύς.

29. τινά подлежащее к ἀποσφάξαι. τἆλλα знаки отличия.

4-я книга.

VII,21. τὸ ὄρος артикль подчеркивает, что речь идет об уже известной горе, с которой видно море. Θήχης Диодор (XIV,29) называет эту гору «Хений». Путь эллинов к Трапезунту шел, вероятно, по перевалу Зигана в Северо-Анатолийских горах.

22. ἄλλους объясняется последующим εἵποντο γὰρ ... χώρας. αὐτῶν относится к τινάς. δασειῶν βοῶν собств. δερμάτων βοῶν.

23. ὅσῳ без ожидавшегося τοσούτῳ.

25. ὅτου аттракция вместо τινός, ὅστις δὴ ἦν.

Πλάτωνος Φαίδων ἢ περὶ ψυχῆς.

LXV. Ταῦτ' εἰπὼν ἐκεῖνος μὲν ἀνίστατο εἰς οἴκημά τι ὡς λουσόμενος, καὶ ὁ Κρίτων εἵπετο αὐτῷ, ἡμᾶς δ' ἐκέλευε περιμένειν. περιεμένομεν οὖν πρὸς ἡμᾶς αὐτοὺς διαλεγόμενοι περὶ τῶν εἰρημένων καὶ ἀνασκοποῦντες, τοτὲ δ' αὖ περὶ τῆς ξυμφορᾶς διεξιόντες ὅση ἡμῖν γεγονυῖα εἴη, ἀτεχνῶς ἡγούμενοι ὥσπερ πατρὸς στερηθέντες διάξειν ὀρφανοὶ τὸν ἔπειτα βίον. ἐπειδὴ δὲ ἐλούσατο καὶ ἠνέχθη παρ' αὐτὸν τὰ παιδία – δύο γὰρ αὐτῷ υἱεῖς σμικροὶ ἦσαν, εἷς δὲ μέγας – καὶ αἱ οἰκεῖαι γυναῖκες ἀφίκοντο, ἐκείναις ἐναντίον τοῦ Κρίτωνος διαλεχθείς τε καὶ ἐπιστείλας ἅττα ἐβούλετο, τὰς μὲν γυναῖκας καὶ τὰ παιδία ἀπιέναι ἐκέλευσεν, αὐτὸς δὲ ἧκε παρ' ἡμᾶς. καὶ ἦν ἤδη ἐγγὺς ἡλίου

δυσμῶν· χρόνον γὰρ πολὺν διέτριψεν ἔνδον. ἐλθὼν δ' ἐκαθέζετο λελουμένος καὶ οὐ πολλὰ μετὰ ταῦτα διελέχθη, καὶ ἧκεν ὁ τῶν ἕνδεκα ὑπηρέτης καὶ στὰς παρ' αὐτόν· «Ὦ Σώκρατες, – ἔφη, – οὐ καταγνώσομαί γε σοῦ ὅπερ ἄλλων καταγιγνώσκω, ὅτι μοι χαλεπαίνουσι καὶ καταρῶνται, ἐπειδὰν αὐτοῖς παραγγέλλω πίνειν τὸ φάρμακον ἀναγκαζόντων τῶν ἀρχόντων. σὲ δὲ ἐγὼ καὶ ἄλλως ἔγνωκα ἐν τούτῳ τῷ χρόνῳ γενναιότατον καὶ πρᾳότατον καὶ ἄριστον ἄνδρα ὄντα τῶν πώποτε δεῦρο ἀφικομένων, καὶ δὴ καὶ νῦν εὖ οἶδ' ὅτι οὐκ ἐμοὶ χαλεπαίνεις, γιγνώσκεις γὰρ τοὺς αἰτίους, ἀλλὰ ἐκείνοις. νῦν, οἶσθα γὰρ ἃ ἦλθον ἀγγέλλων, χαῖρέ τε καὶ πειρῶ ὡς ῥᾷστα φέρειν τὰ ἀναγκαῖα.» καὶ ἅμα δακρύσας μεταστρεφόμενος ἀπῄει. καὶ ὁ Σωκράτης ἀναβλέψας πρὸς αὐτόν· «καὶ σύ, – ἔφη, – χαῖρε, καὶ ἡμεῖς ταῦτα ποιήσομεν.» καὶ ἅμα πρὸς ἡμᾶς· «ὡς ἀστεῖος, – ἔφη, – ὁ ἄνθρωπος· καὶ παρὰ πάντα μοι τὸν χρόνον προσῄει καὶ διελέγετο ἐνίοτε καὶ ἦν ἀνδρῶν λῷστος, καὶ νῦν ὡς γενναίως με ἀποδακρύει. ἀλλ' ἄγε δή, ὦ Κρίτων, πειθώμεθα αὐτῷ, καὶ ἐνεγκάτω τις τὸ φάρμακον, εἰ τέτριπται· εἰ δὲ μή, τριψάτω ὁ ἄνθρωπος.» καὶ ὁ Κρίτων, «ἀλλ' οἶμαι, – ἔφη, – ἔγωγε, ὦ Σώκρατες, ἔτι ἥλιον εἶναι ἐπὶ τοῖς ὄρεσιν καὶ οὔπω δεδυκέναι. καὶ ἅμα ἐγὼ οἶδα καὶ ἄλλους πάνυ ὀψὲ πίνοντας, ἐπειδὰν παραγγελθῇ αὐτοῖς, δειπνήσαντάς τε καὶ πιόντας εὖ μάλα, καὶ ξυγγενομένους γ' ἐνίους ὧν ἂν τύχωσιν ἐπιθυμοῦντες. ἀλλὰ μηδὲν ἐπείγου· ἔτι γὰρ ἐγχωρεῖ.» καὶ ὁ Σωκράτης· «εἰκότως γε, – ἔφη, – ὦ Κρίτων, ἐκεῖνοί τε ταῦτα ποιοῦσιν, οὓς σὺ λέγεις – οἴονται γὰρ κερδαίνειν ταῦτα ποιήσαντες – καὶ ἔγωγε ταῦτα εἰκότως οὐ ποιήσω· οὐδὲν γὰρ οἶμαι κερδανεῖν ὀλίγον ὕστερον πιὼν ἄλλο γε ἢ γέλωτα ὀφλήσειν παρ' ἐμαυτῷ, γλιχόμενος τοῦ ζῆν καὶ φειδόμενος οὐδενὸς ἔτι ἐνόντος. ἀλλ' ἴθι, – ἔφη, – πιθοῦ καὶ μὴ ἄλλως ποίει.»

LXVI. Καὶ ὁ Κρίτων ἀκούσας ἔνευσε τῷ παιδὶ πλησίον ἑστῶτι, καὶ ὁ παῖς ἐξελθὼν καὶ συχνὸν χρόνον διατρίψας ἧκεν ἄγων τὸν μέλλοντα διδόναι τὸ φάρμακον, ἐν κύλικι φέροντα τετριμμένον· ἰδὼν δὲ ὁ Σωκράτης τὸν ἄνθρωπον· «εἶεν, – ἔφη, – ὦ βέλτιστε, σὺ γὰρ τούτων ἐπιστήμων, τί χρὴ ποιεῖν;» «οὐδὲν ἄλλο, – ἔφη, – ἢ πιόντα περιιέναι, ἕως ἄν σου βάρος ἐν τοῖς σκέλεσι γένηται, ἔπειτα κατακεῖσθαι· καὶ οὕτως αὐτὸ ποιήσει.» καὶ ἅμα ὤρεξε τὴν κύλικα τῷ Σωκράτει. καὶ ὃς λαβὼν καὶ μάλα ἵλεως, ὦ Ἐχέκρατες, οὐδὲν τρέσας οὐδὲ διαφθείρας οὔτε τοῦ χρώματος οὔτε τοῦ προσώπου, ἀλλ' ὥσπερ εἰώθει, ταυρηδὸν

ὑποβλέψας πρὸς τὸν ἄνθρωπον· «Τί λέγεις, – ἔφη, – περὶ τοῦδε τοῦ πώματος πρὸς τὸ ἀποσπεῖσαί τινι; ἔξεστιν ἢ οὔ;» «τοσοῦτον, – ἔφη, – ὦ Σώκρατες, τρίβομεν ὅσον οἰόμεθα μέτριον εἶναι πιεῖν.» «μανθάνω, – ἦ δ' ὅς – ἀλλ' εὔχεσθαί γέ που τοῖς θεοῖς ἔξεστί τε καὶ χρή, τὴν μετοίκησιν τὴν ἐνθένδε ἐκεῖσε εὐτυχῆ γενέσθαι· ἃ δὴ καὶ ἐγὼ εὔχομαί τε καὶ γένοιτο ταύτῃ.» καὶ ἅμ' εἰπὼν ταῦτα ἐπισχόμενος καὶ μάλα εὐχερῶς καὶ εὐκόλως ἐξέπιεν. καὶ ἡμῶν οἱ πολλοὶ τέως μὲν ἐπιεικῶς οἷοί τε ἦσαν κατέχειν τὸ μὴ δακρύειν, ὡς δὲ εἴδομεν πίνοντά τε καὶ πεπωκότα, οὐκέτι, ἀλλ' ἐμοῦ γε βίᾳ καὶ αὐτοῦ ἀστακτὶ ἐχώρει τὰ δάκρυα, ὥστε ἐγκαλυψάμενος ἀπέκλαον ἐμαυτόν· οὐ γὰρ δὴ ἐκεῖνόν γε, ἀλλὰ τὴν ἐμαυτοῦ τύχην, οἵου ἀνδρὸς ἑταίρου ἐστερημένος εἴην. ὁ δὲ Κρίτων ἔτι πρότερος ἐμοῦ, ἐπειδὴ οὐχ οἷός τ' ἦν κατέχειν τὰ δάκρυα, ἐξανέστη. Ἀπολλόδωρος δὲ καὶ ἐν τῷ ἔμπροσθεν χρόνῳ οὐδὲν ἐπαύετο δακρύων, καὶ δὴ καὶ τότε ἀναβρυχησάμενος κλαίων καὶ ἀγανακτῶν οὐδένα ὅντινα οὐ κατέκλασε τῶν παρόντων πλήν γε αὐτοῦ Σωκράτους. ἐκεῖνος δέ· «οἷα, – ἔφη, – ποιεῖτε, ὦ θαυμάσιοι. ἐγὼ μέντοι οὐχ ἥκιστα τούτου ἕνεκα τὰς γυναῖκας ἀπέπεμψα, ἵνα μὴ τοιαῦτα πλημμελοῖεν· καὶ γὰρ ἀκήκοα, ὅτι ἐν εὐφημίᾳ χρὴ τελευτᾶν. ἀλλ' ἡσυχίαν τε ἄγετε καὶ καρτερεῖτε.» καὶ ἡμεῖς ἀκούσαντες ᾐσχύνθημέν τε καὶ ἐπέσχομεν τοῦ δακρύειν. ὁ δὲ περιελθών, ἐπειδ' οἱ βαρύνεσθαι ἔφη τὰ σκέλη, κατεκλίθη ὕπτιος· οὕτω γὰρ ἐκέλευεν ὁ ἄνθρωπος· καὶ ἅμα ἐφαπτόμενος αὐτοῦ οὗτος ὁ δοὺς τὸ φάρμακον, διαλιπὼν χρόνον ἐπεσκόπει τοὺς πόδας καὶ τὰ σκέλη, κἄπειτα σφόδρα πιέσας αὐτοῦ τὸν πόδα ἤρετο, εἰ αἰσθάνοιτο, ὁ δ' οὐκ ἔφη· καὶ μετὰ τοῦτο αὖθις τὰς κνήμας· καὶ ἐπανιὼν οὕτως ἡμῖν ἐπεδείκνυτο, ὅτι ψύχοιτό τε καὶ πήγνυτο. καὶ αὐτὸς ἥπτετο καὶ εἶπεν, ὅτι, ἐπειδὰν πρὸς τῇ καρδίᾳ γένηται αὐτῷ, τότε οἰχήσεται. ἤδη οὖν σχεδόν τι αὐτοῦ ἦν τὰ περὶ τὸ ἦτρον ψυχόμενα, καὶ ἐκκαλυψάμενος – ἐνεκεκάλυπτο γάρ – εἶπεν, ὃ δὴ τελευταῖον ἐφθέγξατο· «Ὦ Κρίτων, – ἔφη, – τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα· ἀλλὰ ἀπόδοτε καὶ μὴ ἀμελήσητε.» «ἀλλὰ ταῦτα, – ἔφη, – ἔσται, ὁ Κρίτων· ἀλλ' ὅρα, εἴ τι ἄλλο λέγεις.» ταῦτα ἐρομένου αὐτοῦ οὐδὲν ἔτι ἀπεκρίνατο, ἀλλ' ὀλίγον χρόνον διαλιπὼν ἐκινήθη τε καὶ ὁ ἄνθρωπος ἐξεκάλυψεν αὐτόν, καὶ ὃς τὰ ὄμματα ἔστησεν· ἰδὼν δὲ ὁ Κρίτων ξυνέλαβε τὸ στόμα καὶ τοὺς ὀφθαλμούς.

Платон (427 – 347 гг. до н. э.) – крупнейший представитель объективного идеализма в античной философии. Сохранилось свыше 40 трудов Платона: трактатов, диалогов, мемуаров; в них философ идет от воспоминаний о Сократе к изложению собственного учения. В заключительных главах «Федона» (55 – 56) описывается смерть Сократа.

LXV. τὰ παιδία старший сын – Лампрокл, другие – Софрониск и Менексен. ἐναντίον относится к τοῦ Κρίτωνος. τῶν ἕνδεκα эти лица наблюдали за исполнением судебных приговоров. τῶν ἀφικομένων genetivus comparationis при превосходной степени ἄριστον. ἃ относится к ἀγγέλλων. πάντα τὸν χρόνον (а не τὸν πάντα χρόνον) для обозначения определенного отрезка времени. ὧν аттракция вм. τούτοις, ὧν. ἐγχωρεῖ подразум. ὁ χρόνος.

LXVI. τὸ φάρμακον каков был яд, Платон не говорит; обыкновенно применялась цикута (κώνειον). ἦ аттический имперфект = ἔφη. οὐδένα ὅντινα οὐ аттракция вм. οὐδείς (ἐστιν) ὅντινα οὐ. οὐχ ἥκιστα = μάλιστα. οὐκ ἔφη «ответил, что нет» (досл.: «не ответил»). πήγνυτο архаическая стяженная форма оптатива. γένηται подразум. «холод». ἀλεκτρύονα в награду за смерть как исцеление от болезни, с которой Сократ сравнивает жизнь. ἐκινήθη «вздрогнул».

Ἀριστοτέλους Ἀθηναίων πολιτεία.

VI,1. Κύριος δὲ γενόμενος τῶν πραγμάτων Σόλων τόν τε δῆμον ἠλευθέρωσε καὶ ἐν τῷ παρόντι καὶ εἰς τὸ μέλλον κωλύσας ἐπὶ τοῖς σώμασιν δανείζειν καὶ χρεῶν ἀποκοπὰς ἐποίησε, καὶ τῶν ἰδίων καὶ τῶν δημοσίων, ἃς σεισάχθειαν καλοῦσιν, ὡς ἀποσεισάμενοι τὸ βάρος. Ἐν οἷς πειρῶνταί τινες διαβάλλειν αὐτόν·...

VII,3. Τιμήματα διεῖλεν εἰς τέτταρα τέλη, εἰς πεντακοσιομέδιμνον καὶ ἱππέα καὶ ζευγίτην καὶ θῆτα. Καὶ τὰς μὲν οὔσας ἀρχὰς ἀπένειμεν ἄρχειν ἐκ πεντακοσιομεδίμνων καὶ ἱππέων καὶ ζευγιτῶν, τοὺς ἐννέα ἄρχοντας καὶ τοὺς ταμίας καὶ τοὺς πωλητὰς καὶ τοὺς ἕνδεκα καὶ τοὺς κωλακρέτας, ἑκάστοις ἀνὰ λόγον τῷ μεγέθει τοῦ τιμήματος ἀποδιδοὺς τὴν ἀρχήν· Τοῖς δὲ τὸ θητικὸν τελοῦσιν ἐκκλησίας καὶ δικαστηρίων μετέδωκε μόνον. **4.** Ἔδει δὲ τελεῖν πεντακοσιομέδιμνον μέν, ὃς ἂν ἐκ τῆς οἰκείας ποιῇ πεντακόσια μέτρα τὰ συνάμφω ξηρὰ

καὶ ὑγρά, ἱππάδα δὲ τοὺς τριακόσια ποιοῦντας, ὡς δ᾽ ἔνιοί φασι τοὺς ἱπποτροφεῖν δυναμένους. Ζευγίσιον δὲ τελεῖν τοὺς διακόσια τὰ συνάμφω ποιοῦντας· τοὺς δ᾽ ἄλλους θητικόν, οὐδεμιᾶς μετέχοντας ἀρχῆς.

VIII,1. Τὰς δ᾽ ἀρχὰς ἐποίησε κληρωτὰς ἐκ προκρίτων, οὓς ἑκάστη προκρίνειε τῶν φυλῶν. Προύκρινεν δ᾽ εἰς τοὺς ἐννέα ἄρχοντας ἑκάστη δέκα, καὶ ἐκ τούτων ἐκλήρουν· ὅθεν ἔτι διαμένει ταῖς φυλαῖς τὸ δέκα κληροῦν ἑκάστην, εἶτ᾽ ἐκ τούτων κυαμεύειν... **4.** Βουλὴν δ᾽ ἐποίησε τετρακοσίους, ἑκατὸν ἐξ ἑκάστης τῆς φυλῆς, τὴν δὲ τῶν ᾽Αρεοπαγιτῶν ἔταξεν ἐπὶ τὸ νομοφυλακεῖν, ὥσπερ ὑπῆρχεν καὶ πρότερον ἐπίσκοπος οὖσα τῆς πολιτείας· ἣ τά τε ἄλλα τὰ πλεῖστα καὶ τὰ μέγιστα τῶν πολιτικῶν διετήρει καὶ τοὺς ἁμαρτάνοντας ηὔθυνεν κυρία οὖσα καὶ ζημιοῦν καὶ κολάζειν, καὶ τὰς ἐκτίσεις ἀνέφερεν εἰς πόλιν, οὐκ ἐπιγράφουσα τὴν πρόφασιν τοῦ ἐκτίνεσθαι, καὶ τοὺς ἐπὶ καταλύσει τοῦ δήμου συνισταμένους ἔκρινεν Σόλωνος θέντος νόμον εἰσαγγελίας περὶ αὐτῶν.

IX,1. Τὰ μὲν οὖν περὶ τὰς ἀρχὰς τοῦτον εἶχε τὸν τρόπον. Δοκεῖ δὲ τῆς Σόλωνος πολιτείας τρία ταῦτ᾽ εἶναι τὰ δημοτικώτατα· πρῶτον μὲν καὶ μέγιστον τὸ μὴ δανείζειν ἐπὶ τοῖς σώμασιν, ἔπειτα τὸ ἐξεῖναι τῷ βουλομένῳ τιμωρεῖν ὑπὲρ τῶν ἀδικουμένων, τρίτον δέ, ᾧ μάλιστά φασιν ἰσχυκέναι τὸ πλῆθος, ἡ εἰς τὸ δικαστήριον ἔφεσις· κύριος γὰρ ὢν ὁ δῆμος τῆς ψήφου, κύριος γίγνεται τῆς πολιτείας.

Аристотель (384 – 322 гг. до н. э.) – величайший философ-энциклопедист; сохранилось свыше 40 его сочинений по философии, этике, эстетике, политике, истории, естественным наукам. В «Афинской политии» (VI –IX) даются сведения о законодательстве Солона.

VI,1. ἐν οἷς «именно насчет этого» (сильнее, чем ἐν τούτοις).

VII,3. τιμήματα без дополнения (подразум. «имущество»). μὲν οὔσας есть и другие чтения: μὲν πολλάς, μεγίστας и просто μέν.

4. ἐκ τῆς οἰκείας подразум. γῆς. ζευγίσιον подразум. τέλος.

VIII,1. κληρωτὰς ἐκ προκρίτων интересные сведения о двустепенности выборов: голосовании в первой инстанции и жеребьевке во второй. βουλήν без артикля, т. к. речь идет о новом учреждении. εἰσαγγελίας позже исангелия – донос в народное собрание о государственном преступлении.

IX. ἐξεῖναι = ἐξουσίαν εἶναι.

1. Πολλοί μοι προσεληλύθασιν, ὦ ἄνδρες δικασταί, θαυμάζοντες, ὅτι ἐγὼ τῶν σιτοπωλῶν ἐν τῇ βουλῇ κατηγόρουν, καὶ λέγοντες, ὅτι ὑμεῖς, εἰ ὡς μάλιστα αὐτοὺς ἀδικεῖν ἡγεῖσθε, οὐδὲν ἧττον καὶ τοὺς περὶ τούτων λόγους ποιουμένους συκοφαντεῖν νομίζετε. ὅθεν οὖν ἠνάγκασμαι κατηγορεῖν αὐτῶν, περὶ τούτων πρῶτον εἰπεῖν βούλομαι.

2. Ἐπειδὴ γὰρ οἱ πρυτάνεις ἀπέδοσαν εἰς τὴν βουλὴν περὶ αὐτῶν, οὕτως ὠργίσθησαν αὐτοῖς, ὥστε ἔλεγόν τινες τῶν ῥητόρων ὡς ἀκρίτους αὐτοὺς χρὴ τοῖς ἕνδεκα παραδοῦναι θανάτῳ ζημιῶσαι. Ἡγούμενος δὲ ἐγὼ δεινὸν εἶναι τοιαῦτα ἐθίζεσθαι ποιεῖν τὴν βουλήν, ἀναστὰς εἶπον, ὅτι μοι δοκοίη κρίνειν τοὺς σιτοπώλας κατὰ τὸν νόμον, νομίζων, εἰ μέν εἰσιν ἄξια θανάτου εἰργασμένοι, ὑμᾶς οὐδὲν ἧττον ἡμῶν γνώσεσθαι τὰ δίκαια, εἰ δὲ μηδὲν ἀδικοῦσιν, οὐ δεῖν αὐτοὺς ἀκρίτους ἀπολωλέναι. **3.** Πεισθείσης δὲ τῆς βουλῆς ταῦτα, διαβάλλειν ἐπεχείρουν με λέγοντες ὡς ἐγὼ σωτηρίας ἕνεκα τῆς τῶν σιτοπωλῶν τοὺς λόγους τούτους ἐποιούμην. πρὸς μὲν οὖν τὴν βουλήν, ὅτ' ἦν αὐτοῖς ἡ κρίσις, ἔργῳ ἀπελογησάμην· τῶν γὰρ ἄλλων ἡσυχίαν ἀγόντων ἀναστὰς αὐτῶν κατηγόρουν, καὶ πᾶσι φανερὸν ἐποίησα, ὅτι οὐχ ὑπὲρ τούτων ἔλεγον, ἀλλὰ τοῖς νόμοις τοῖς κειμένοις ἐβοήθουν. **4.** Ἠρξάμην μὲν οὖν τούτων ἕνεκα, δεδιὼς τὰς αἰτίας· αἰσχρὸν δ' ἡγοῦμαι πρότερον παύσασθαι, πρὶν ἂν ὑμεῖς περὶ αὐτῶν ὅ τι ἂν βούλησθε ψηφίσησθε.

5. Καὶ πρῶτον μὲν ἀνάβητε. εἰπὲ σὺ ἐμοί, μέτοικος εἶ; Ναί. Μετοικεῖς δὲ πότερον ὡς πεισόμενος τοῖς νόμοις τοῖς τῆς πόλεως, ἢ ὡς ποιήσων ὅ τι ἂν βούλῃ; Ὡς πεισόμενος. Ἄλλο τι οὖν ἢ ἀξιοῖς ἀποθανεῖν, εἴ τι πεποίηκας παρὰ τοὺς νόμους, ἐφ' οἷς θάνατος ἡ ζημία; Ἔγωγε. Ἀπόκριναι δή μοι, εἰ ὁμολογεῖς πλείω σῖτον συμπρίασθαι πεντήκοντα φορμῶν, ὧν ὁ νόμος ἐξεῖναι κελεύει. Ἐγὼ τῶν ἀρχόντων κελευόντων συνεπριάμην.

6. Ἐὰν μὲν τοίνυν ἀποδείξῃ, ὦ ἄνδρες δικασταί, ὡς ἔστι νόμος ὃς κελεύει τοὺς σιτοπώλας συνωνεῖσθαι τὸν σῖτον, ἐὰν οἱ ἄρχοντες κελεύωσιν, ἀποψηφίσασθε· εἰ δὲ μή, δίκαιον ὑμᾶς καταψηφίσασθαι. Ἡμεῖς γὰρ ὑμῖν παρεσχόμεθα τὸν νόμον, ὃς ἀπαγορεύει μηδένα τῶν ἐν τῇ πόλει πλείω σῖτον πεντήκοντα φορμῶν συνωνεῖσθαι.

7. Χρῆν μὲν τοίνυν, ὦ ἄνδρες δικασταί, ἱκανὴν εἶναι ταύτην τὴν κατηγορίαν, ἐπειδὴ οὗτος μὲν ὁμολογεῖ συμπρίασθαι, ὁ δὲ νόμος ἀπαγορεύων φαίνεται, ὑμεῖς δὲ κατὰ τοὺς νόμους ὀμωμόκατε

ψηφίσασθαι ὅμως δ' ἵνα πεισθῆτε, ὅτι καὶ κατὰ τῶν ἀρχόντων ψεύδονται, ἀνάγκη διὰ μακροτέρων εἰπεῖν περὶ αὐτῶν. 8. Ἐπειδὴ γὰρ οὗτοι τὴν αἰτίαν εἰς ἐκείνους ἀνέφερον, παρακαλέσαντες τοὺς ἄρχοντας ἠρωτῶμεν. καὶ οἱ μὲν τέτταρες οὐδὲν ἔφασαν εἰδέναι τοῦ πράγματος, Ἄνυτος δ' ἔλεγεν ὡς τοῦ προτέρου χειμῶνος, ἐπειδὴ τίμιος ἦν ὁ σῖτος, τούτων ὑπερβαλλόντων ἀλλήλους καὶ πρὸς σφᾶς αὐτοὺς μαχομένων συμβουλεύσειεν αὐτοῖς παύσασθαι φιλονικοῦσιν, ἡγούμενος συμφέρειν ὑμῖν τοῖς παρὰ τούτων ὠνουμένοις ὡς ἀξιώτατον τούτους πρίασθαι· δεῖν γὰρ αὐτοὺς ὀβολῷ μόνον πωλεῖν τιμιώτερον. 9. Ὡς τοίνυν οὐ συμπριαμένους καταθέσθαι ἐκέλευεν αὐτούς, ἀλλὰ μὴ ἀλλήλοις ἀντωνεῖσθαι συνεβούλευεν, αὐτὸν ὑμῖν Ἄνυτον μάρτυρα παρέξομαι.

ΜΑΡΤΥΡΙΑ

Καὶ [ὡς] οὗτος μὲν ἐπὶ τῆς προτέρας βουλῆς τούτους εἶπε τοὺς λόγους, οὗτοι δ' ἐπὶ τῆσδε συνωνούμενοι φαίνονται.

10. Ὅτι μὲν τοίνυν οὐχ ὑπὸ τῶν ἀρχόντων κελευσθέντες συνεπρίαντο τὸν σῖτον, ἀκηκόατε· ἡγοῦμαι δ', ἐὰν ὡς μάλιστα περὶ τούτων ἀληθῆ λέγωσιν, οὐχ ὑπὲρ αὐτῶν αὐτοὺς ἀπολογήσεσθαι, ἀλλὰ τούτων κατηγορήσειν· περὶ γὰρ ὧν εἰσι νόμοι διαρρήδην γεγραμμένοι, πῶς οὐ χρὴ διδόναι δίκην καὶ τοὺς μὴ πειθομένους καὶ τοὺς κελεύοντας τούτοις τἀναντία πράττειν;

11. Ἀλλὰ γάρ, ὦ ἄνδρες δικασταί, οἴομαι αὐτοὺς ἐπὶ μὲν τούτῳ τῷ λόγῳ οὐκ ἐλεύσεσθαι· ἴσως δ' ἐροῦσιν, ὥσπερ καὶ ἐν τῇ βουλῇ ὡς ἐπ' εὐνοίᾳ τῆς πόλεως συνεωνοῦντο τὸν σῖτον, ἵν' ὡς ἀξιώτατον ὑμῖν πωλοῖεν· μέγιστον δ' ὑμῖν ἐρῶ καὶ περιφανέστατον τεκμήριον, ὅτι ψεύδονται.

12. Ἐχρῆν γὰρ αὐτούς, εἴπερ ὑμῶν ἕνεκα ἔπραττον ταῦτα, φαίνεσθαι τῆς αὐτῆς τιμῆς πολλὰς ἡμέρας πωλοῦντας, ἕως ὁ συνεωνημένος αὐτοὺς ἐπέλιπε· νῦν δ' ἐνίοτε τῆς αὐτῆς ἡμέρας ἐπώλουν δραχμῇ τιμιώτερον, ὥσπερ κατὰ μέδιμνον συνωνούμενοι. Καὶ τούτων ὑμᾶς μάρτυρας παρέχομαι. 13. Δεινὸν δέ μοι δοκεῖ εἶναι, εἰ ὅταν μὲν εἰσφορὰν εἰσενεγκεῖν δέῃ, ἣν πάντες εἴσεσθαι μέλλουσιν, οὐκ ἐθέλουσιν, ἀλλὰ πενίαν προφασίζονται, ἐφ' οἷς δὲ θάνατός ἐστιν ἡ ζημία καὶ λαθεῖν αὐτοῖς συνέφερε, ταῦτα ἐπ' εὐνοίᾳ φασὶ τῇ ὑμετέρᾳ παρανομῆσαι· καίτοι πάντες ἐπίστασθε, ὅτι τούτοις ἥκιστα προσήκει τοιούτους ποιεῖσθαι λόγους. Τἀναντία γὰρ αὐτοῖς καὶ τοῖς ἄλλοις

συμφέρει· τότε γὰρ πλεῖστα κερδαίνουσιν, ὅταν κακοῦ τινος ἀπαγγελθέντος τῇ πόλει τίμιον τὸν σῖτον πωλῶσιν. **14.** Οὕτω δ' ἄσμενοι τὰς συμφορὰς τὰς ὑμετέρας ὁρῶσιν, ὥστε τὰς μὲν πρότεροι τῶν ἄλλων πυνθάνονται, τὰς δ' αὐτοὶ λογοποιοῦσιν, ἢ τὰς ναῦς διεφθάρθαι τὰς ἐν τῷ Πόντῳ, ἢ ὑπὸ Λακεδαιμονίων ἐκπλεούσας συνειλῆφθαι, ἢ τὰ ἐμπόρια κεκλῇσθαι, ἢ τὰς σπονδὰς μέλλειν ἀπορρηθήσεσθαι. **15.** Καὶ εἰς τοῦτ' ἔχθρας ἐληλύθασιν, ὥστ' ἐν [τούτοις] τοῖς καιροῖς ἐπιβουλεύουσιν ὑμῖν, ὥσπερ οἱ πολέμιοι. Ὅταν γὰρ μάλιστα σίτου τυγχάνητε δεόμενοι, συναρπάζουσιν οὗτοι καὶ οὐκ ἐθέλουσι πωλεῖν, ἵνα μὴ περὶ τῆς τιμῆς διαφερώμεθα, ἀλλ' ἀγαπῶμεν, ἐὰν ὁποσουτινοσοῦν πριάμενοι παρ' αὐτῶν ἀπέλθωμεν. ὥστ' ἐνίοτε εἰρήνης οὔσης ὑπὸ τούτων πολιορκούμεθα. **16.** Οὕτω δὲ πάλαι περὶ τῆς τούτων πανουργίας καὶ κακονοίας ἡ πόλις ἔγνωκεν, ὥστ' ἐπὶ μὲν τοῖς ἄλλοις ὠνίοις ἅπασι τοὺς ἀγορανόμους φύλακας κατεστήσατε, ἐπὶ δὲ ταύτῃ μόνῃ τῇ τέχνῃ χωρὶς σιτοφύλακας ἀποκληροῦτε· καὶ πολλάκις ἤδη παρ' ἐκείνων πολιτῶν ὄντων δίκην τὴν μεγίστην ἐλάβετε, ὅτι οὐχ οἷοί τ' ἦσαν τῆς τούτων πονηρίας ἐπικρατῆσαι. Καίτοι τί χρὴ αὐτοὺς τοὺς ἀδικοῦντας ὑφ' ὑμῶν πάσχειν, ὁπότε καὶ τοὺς οὐ δυναμένους φυλάττειν ἀπεκτείνετε;

17. Ἐνθυμεῖσθαι δὲ χρή, ὅτι ἀδύνατον ὑμῖν ἐστιν ἀποψηφίσασθαι. εἰ γὰρ ἀπογνώσεσθε ὁμολογούντων αὐτῶν ἐπὶ τοὺς ἐμπόρους συνίστασθαι, δόξεθ' ὑμεῖς ἐπιβουλεύειν τοῖς εἰσπλέουσιν. εἰ μὲν γὰρ ἄλλην τινὰ ἀπολογίαν ἐποιοῦντο, οὐδεὶς ἂν εἶχε τοῖς ἀποψηφισαμένοις ἐπιτιμᾶν· ἐφ' ὑμῖν γὰρ ὁποτέροις βούλεσθε πιστεύειν· νῦν δὲ πῶς οὐ δεινὰ ἂν δόξαιτε ποιεῖν, εἰ τοὺς ὁμολογοῦντας παρανομεῖν ἀζημίους ἀφήσετε; **18.** Ἀναμνήσθητε δέ, ὦ ἄνδρες δικασταί, ὅτι πολλῶν ἤδη ἐχόντων ταύτην τὴν αἰτίαν, ἀλλ' ἀμφισβητούντων καὶ μάρτυρας παρεχομένων, θάνατον κατέγνωτε, πιστοτέρους ἡγησάμενοι τοὺς τῶν κατηγόρων λόγους. Καίτοι πῶς ἂν οὐ θαυμαστὸν εἴη, εἰ περὶ τῶν αὐτῶν ἁμαρτημάτων δικάζοντες μᾶλλον ἐπιθυμεῖτε παρὰ τῶν ἀρνουμένων δίκην λαμβάνειν; **19.** Καὶ μὲν δή, ὦ ἄνδρες δικασταί, πᾶσιν ἡγοῦμαι φανερὸν εἶναι, ὅτι οἱ περὶ τῶν τοιούτων ἀγῶνες κοινότατοι τυγχάνουσιν ὄντες τοῖς ἐν τῇ πόλει, ὥστε πεύσονται ἥντινα γνώμην περὶ αὐτῶν ἔχετε, ἡγούμενοι, ἐὰν μὲν θάνατον τούτων καταγνῶτε, κοσμιωτέρους ἔσεσθαι τοὺς λοιπούς· ἐὰν δ' ἀζημίους ἀφῆτε, πολλὴν ἄδειαν αὐτοῖς ἐψηφισμένοι ἔσεσθε ποιεῖν ὅ τι ἂν βούλωνται. **20.** Χρὴ δέ, ὦ ἄνδρες

δικασταί, μὴ μόνον τῶν παρεληλυθότων ἕνεκα αὐτοὺς κολάζειν, ἀλλὰ καὶ παραδείγματος ἕνεκα τῶν μελλόντων ἔσεσθαι· οὕτω γὰρ ἔσονται μόγις ἀνεκτοί. Ἐνθυμεῖσθε δ' ὅτι ἐκ ταύτης τῆς τέχνης πλεῖστοι περὶ τοῦ σώματός εἰσιν ἠγωνισμένοι· καὶ οὕτω μεγάλα ἐξ αὐτῆς ὠφελοῦνται, ὥστε μᾶλλον αἱροῦνται καθ' ἑκάστην ἡμέραν περὶ τῆς ψυχῆς κινδυνεύειν ἢ παύεσθαι παρ' ὑμῶν ἀδίκως κερδαίνοντες. **21.** Καὶ μὲν δὴ οὐδ' ἐὰν ἀντιβολῶσιν ὑμᾶς καὶ ἱκετεύωσι, δικαίως ἂν αὐτοὺς ἐλεήσαιτε, ἀλλὰ πολὺ μᾶλλον τῶν τε πολιτῶν, οἳ διὰ τὴν τούτων πονηρίαν ἀπέθνῃσκον, καὶ τοὺς ἐμπόρους, ἐφ' οὓς οὗτοι συνέστησαν· οἷς ὑμεῖς χαριεῖσθε καὶ προθυμοτέρους ποιήσετε, δίκην παρὰ τούτων λαμβάνοντες. Εἰ δὲ μή, τίν' αὐτοὺς οἴεσθε γνώμην ἕξειν, ἐπειδὰν πύθωνται, ὅτι τῶν καπήλων, οἳ τοῖς εἰσπλέουσιν ὡμολόγησαν ἐπιβουλεύειν, ἀπεψηφίσασθε;

22. Οὐκ οἶδ' ὅ τι δεῖ πλείω λέγειν· περὶ μὲν γὰρ τῶν ἄλλων τῶν ἀδικούντων, ὅτου δικάζονται, δεῖ παρὰ τῶν κατηγόρων πυθέσθαι, τὴν δὲ τούτων πονηρίαν ἅπαντες ἐπίστασθε. Ἐὰν οὖν τούτων καταψηφίσησθε, τά τε δίκαια ποιήσετε καὶ ἀξιώτερον τὸν σῖτον ὠνήσεσθε· εἰ δὲ μή, τιμιώτερον.

Лисий (ок. 459 – 380 гг. до н. э.) – афинский оратор-логограф, составлявший судебные речи в основном для своих клиентов. Сохранились 34 речи, из которых 22-я говорит о запрете в одни руки скупать более 50 медимнов хлеба и спекулировать им.

Судебное дело возникло в 387/386 г. до н. э. из-за нарушения закона.

1. λόγους ποιεῖσθαι περί τινος = κατηγορεῖν τινος.

2. ὠργίσθησαν подразум. οἱ βουλευταί. τοῖς ἕνδεκα см. примеч. к «Федону» Платона (стр. 252).

3. τῶν γὰρ ἄλλων подразум. ῥητόρων.

5. τῶν ἀρχόντων т. е. τῶν σιτοφυλάκων.

8. синонимы: ὑπερβάλλειν и ἀντωνεῖσθαι, μάχεσθαι и φιλονεικεῖν. ἀξιώτατον = εὐωνότατον.

11. ἐλεύσεσθαι редкая в аттической прозе форма будущего времени; обычно ἥξειν, ἰέναι, ἀφίξεσθαι.

13. εἰσφοράν экстраординарная подать на военные нужды.

14. ὑπὸ Λακεδαιμονίων... συνειλῆφθαι возможное указание на Коринфскую войну. τὰς σπονδάς вероятно, Анталкидов мир.

16. οὕτω...ἔγνωκεν = ταύτην τὴν γνώμην ἔχει.

17. τοὺς ἐμπόρους...τοῖς εἰσπλέουσιν имеются в виду импортеры хлеба.

19. ἐψηφισμένοι ἔσεσθε не зависит от ἡγούμενοι.

20. τοῦ σώματος и τῆς ψυχῆς имеется в виду уголовное преследование.

21. τῶν πολιτῶν οἵ = τοὺς πολίτας οἵ. ἐφ' οἷς ожидалось бы ἐφ' οὕς. οἷς...καὶ προθυμοτέρους добавить при переводе οὕς перед προθυμοτέρους.

Στραβῶνος Γεωγραφικῶν ΙΖ.

I,3. Δεῖ δὲ ἐπὶ πλέον εἰπεῖν καὶ πρῶτον τὰ περὶ τὴν Αἴγυπτον, ὅπως ἀπὸ τῶν γνωριμωτέρων ἐπὶ τὰ ἑξῆς προΐωμεν. Κοινὰ μὲν γάρ τινα καὶ ταύτῃ τῇ χώρᾳ καὶ τῇ συνεχεῖ καὶ ὑπὲρ αὐτὴν τῇ τῶν Αἰθιόπων ὁ Νεῖλος παρασκευάζει, ποτίζων τε αὐτὰς κατὰ τὰς ἀναβάσεις καὶ τοῦτ' οἰκήσιμον αὐτῶν τὸ μέρος ἀπολείπων μόνον τὸ καλυπτόμενον ἐν ταῖς πλημμυρίσι. Τὸ δ' ὑπερδέξιον καὶ μετεωρότερον τοῦ ῥεύματος πᾶν ἀοίκητον διεξιὼν ἑκατέρωθεν καὶ ἔρημον διὰ τὴν αὐτὴν ἀνυδρίαν. Ἀλλὰ τὴν μὲν Αἰθιοπίαν οὔτε πᾶσαν διέξεισιν ὁ Νεῖλος οὔτε μόνος οὔτ' ἐπ' εὐθείας οὔτ' οἰκουμένην καλῶς· τὴν δ' Αἴγυπτον καὶ μόνος καὶ πᾶσαν καὶ ἐπ' εὐθείας ἀπὸ τοῦ μικροῦ καταράκτου ὑπὲρ Συήνης καὶ Ἐλεφαντίνης ἀρξάμενος, οἵπερ εἰσὶν ὅροι τῆς Αἰγύπτου καὶ τῆς Αἰθιοπίας, ἕως τῶν ἐπὶ θάλατταν ἐκβολῶν. Καὶ μὴν οἵ γε Αἰθίοπες τὸ πλέον νομαδικῶς ζῶσι καὶ ἀπόρως διά τε τὴν λυπρότητα τῆς χώρας καὶ τὴν τῶν ἀέρων ἀσυμμετρίαν καὶ τὸν ἀφ' ἡμῶν ἐκτοπισμόν, τοῖς δ' Αἰγυπτίοις ἅπαντα τἀναντία συμβέβηκε· καὶ γὰρ πολιτικῶς καὶ ἡμέρως ἐξ ἀρχῆς ζῶσι καὶ ἐν γνωρίμοις ἵδρυνται τόποις, ὥστε καὶ αἱ διατάξεις αὐτῶν μνημονεύονται· καὶ ἐπαινοῦνταί γε δοκοῦντες ἀξίως χρήσασθαι τῇ τῆς χώρας εὐδαιμονίᾳ, μερίσαντές τε εὖ καὶ ἐπιμεληθέντες. Βασιλέα γὰρ ἀποδείξαντες τριχῇ τὸ πλῆθος διεῖλον καὶ τοὺς μὲν στρατιώτας ἐκάλεσαν τοὺς δὲ γεωργοὺς τοὺς δὲ ἱερέας· καὶ τοὺς μὲν τῶν ἱερῶν ἐπιμελητὰς τοὺς δ' ἄλλους τῶν περὶ τὸν ἄνθρωπον· καὶ τοὺς μὲν τὰ ἐν τῷ πολέμῳ τοὺς δ' ὅσα ἐν εἰρήνῃ, γῆν τε καὶ τέχνας ἐργαζομένων· ἀφ' ὧνπερ καὶ αἱ πρόσοδοι συνήγοντο τῷ βασιλεῖ. Οἱ δ' ἱερεῖς καὶ φιλοσοφίαν ἤσκουν καὶ ἀστρονομίαν, ὁμιληταί τε τῶν βασιλέων ἦσαν.

Ἡ δὲ χώρα τὴν μὲν πρώτην διαίρεσιν εἰς νομοὺς ἔσχε, δέκα μὲν ἡ Θηβαΐς, δέκα δ' ἡ ἐν τῷ Δέλτα, ἑκκαίδεκα δ' ἡ μεταξύ· ὡς δέ τινες, τοσοῦτοι ἦσαν οἱ σύμπαντες νομοὶ ὅσαι αἱ ἐν τῷ λαβυρίνθῳ αὐλαί· αὗται δ' ἐλάττους τῶν τριάκοντα [καὶ ἕξ]· πάλιν δ' οἱ νομοὶ τομὰς ἄλλας ἔσχον· εἰς γὰρ τοπαρχίας οἱ πλεῖστοι διῄρηντο, καὶ αὗται δ' εἰς ἄλλας τομάς· ἐλάχισται δ' αἱ ἄρουραι μερίδες. Ἐδέησε δὲ τῆς ἐπ' ἀκριβὲς καὶ κατὰ λεπτὸν διαιρέσεως διὰ τὰς συνεχεῖς τῶν ὅρων συγχύσεις ἃς ὁ Νεῖλος ἀπεργάζεται κατὰ τὰς αὐξήσεις, ἀφαιρῶν καὶ προστιθεὶς καὶ ἐναλλάττων τὰ σχήματα καὶ τἆλλα σημεῖα ἀποκρύπτων οἷς διακρίνεται τό τε ἀλλότριον καὶ τὸ ἴδιον· ἀνάγκη δὴ ἀναμετρεῖσθαι πάλιν καὶ πάλιν. Ἐντεῦθεν δὲ καὶ τὴν γεωμετρίαν συστῆναί φασιν, ὡς τὴν λογιστικὴν καὶ ἀριθμητικὴν παρὰ Φοινίκων διὰ τὰς ἐμπορίας. Τριχῇ δὲ διῄρητο ὥσπερ τὸ σύμπαν καὶ τὸ ἐν ἑκάστῳ τῷ νομῷ πλῆθος, εἰς τρία ἴσα μερισθείσης τῆς χώρας. Ἡ δὲ περὶ τὸν ποταμὸν πραγματεία διαφέρει τοσοῦτον ὅσον τῇ ἐπιμελείᾳ νικᾶν τὴν φύσιν. Φύσει γὰρ πλείονα φέρει καρπὸν καὶ ποτισθεῖσα μᾶλλον· φύσει δὲ καὶ ἡ μείζων ἀνάβασις τοῦ ποταμοῦ πλείω ποτίζει γῆν, ἀλλ' ἡ ἐπιμέλεια πολλάκις καὶ τῆς φύσεως ἐξίσχυσεν ἐπιλιπούσης, ὥστε καὶ κατὰ τὰς ἐλάττους ἀναβάσεις τοσαύτην ποτισθῆναι γῆν ὅσην ἐν ταῖς μείζοσι, διά τε τῶν διωρύγων καὶ τῶν παραχωμάτων· ἐπὶ γοῦν τῶν πρὸ Πετρωνίου χρόνων ἡ μεγίστη μὲν ἦν φορὰ καὶ ἀνάβασις, ἡνίκα ἐπὶ τεσσαρεσκαίδεκα πήχεις ἀνέβαινεν ὁ Νεῖλος, ἡνίκα δ' ἐπ' ὀκτώ, συνέβαινε λιμός· ἐπ' ἐκείνου δὲ ἄρξαντος τῆς χώρας καὶ δώδεκα μόνον πληρώσαντος πήχεις τοῦ Νείλου μέτρου, μεγίστη ἦν ἡ φορά, καὶ ὀκτὼ ποτε μόνον πληρώσαντος λιμοῦ οὐδεὶς ᾔσθετο. Τοιαύτη μὲν ἡ διάταξις· τὰ δ' ἑξῆς λέγωμεν νυνί.

4. Ἀπὸ γὰρ τῶν Αἰθιοπικῶν τερμόνων ῥεῖ ἐπ' εὐθείας ὁ Νεῖλος πρὸς ἄρκτους ἕως τοῦ καλουμένου χωρίου Δέλτα· εἶτ' ἐπὶ κορυφὴν σχιζόμενος, ὥς φησιν ὁ Πλάτων, ὡς ἂν τριγώνου κορυφὴν ἀποτελεῖ τὸν τόπον τοῦτον· πλευρὰς δὲ τοῦ τριγώνου τὰ σχιζόμενα ἐφ' ἑκάτερα ῥεῖθρα καθήκοντα μέχρι τῆς θαλάττης, τὸ μὲν ἐν δεξιᾷ τῆς κατὰ Πηλούσιον, τὸ δ' ἐν ἀριστερᾷ τῆς κατὰ Κάνωβον καὶ τὸ πλησίον Ἡράκλειον προσαγορευόμενον· βάσιν δὲ τὴν παραλίαν τὴν μεταξὺ τοῦ Πηλουσίου καὶ τοῦ Ἡρακλείου. Γέγονε δὴ νῆσος ἔκ τε τῆς θαλάττης καὶ τῶν ῥευμάτων ἀμφοῖν τοῦ ποταμοῦ, καὶ καλεῖται Δέλτα διὰ τὴν ὁμοιότητα τοῦ σχήματος· τὸ δ' ἐπὶ τῇ κορυφῇ χωρίον ὁμωνύμως κέκληται

διὰ τὸ ἀρχὴν εἶναι τοῦ λεχθέντος σχήματος, καὶ ἡ κώμη δὲ ἡ ἐπ᾽ αὐτῷ καλεῖται Δέλτα. Δύο μὲν οὖν ταῦτα τοῦ Νείλου στόματα, ὧν τὸ μὲν Πηλουσιακὸν καλεῖται, τὸ δὲ Κανωβικὸν καὶ Ἡρακλειωτικόν· μεταξὺ δὲ τούτων ἄλλαι πέντε εἰσὶν ἐκβολαὶ αἵ γε ἀξιόλογοι, λεπτότεραι δὲ πλείους· ἀπὸ γὰρ τῶν πρώτων μερῶν ἀπορρῶγες πολλαὶ καθ᾽ ὅλην μερισθεῖσαι τὴν νῆσον πολλὰ καὶ ῥεῖθρα καὶ νήσους ἐποίησαν, ὥσθ᾽ ὅλην γενέσθαι πλωτὴν διωρύγων ἐπὶ διώρυξι τμηθεισῶν, αἳ κατὰ ῥαστώνην πλέονται τοσαύτην ὥστε καὶ ὀστράκινα ἐνίοις εἶναι πορθμεῖα· τὴν μὲν οὖν περίμετρον ὅσον τρισχιλίων σταδίων ἐστὶν ἡ σύμπασα νῆσος· καλοῦσι δ᾽ αὐτὴν καὶ τὴν κάτω χώραν σὺν ταῖς ἀπαντικρὺ ποταμίαις τοῦ Δέλτα· ἐν δὲ ταῖς ἀναβάσεσι τοῦ Νείλου καλύπτεται πᾶσα καὶ πελαγίζει πλὴν τῶν οἰκήσεων· αὗται δ᾽ ἐπὶ λόφων αὐτοφυῶν ἢ χωμάτων ἵδρυνται, πόλεις τε ἀξιόλογοι καὶ κῶμαι, νησίζουσαι κατὰ τὴν πόρρωθεν ὄψιν. Πλείους δὲ τετταράκοντα ἡμέρας τοῦ θέρους διαμεῖναν τὸ ὕδωρ ἔπειθ᾽ ὑπόβασιν λαμβάνει κατ᾽ ὀλίγον, καθάπερ καὶ τὴν αὔξησιν ἔσχεν· ἐν ἑξήκοντα δὲ ἡμέραις τελέως γυμνοῦται καὶ ἀναψύχεται τὸ πεδίον· ὅσῳ δὲ θᾶττον ἡ ἀνάψυξις, τοσῷδε θᾶττον ὁ ἄροτος καὶ ὁ σπόρος· θᾶττον δέ, παρ᾽ οἷς τὰ μείζω θάλπη. Τὸν αὐτὸν τρόπον καὶ τὰ ἐπάνω τοῦ Δέλτα ποτίζεται, πλὴν ὅτι ἐπ᾽ εὐθείας ὅσον τετρακισχιλίοις σταδίοις δι᾽ ἑνὸς ῥείθρου τοῦ ποταμοῦ φερομένου, πλὴν εἴ πού τις ἐντρέχει νῆσος, ὧν ἀξιολογωτάτη ἡ τὸν Ἡρακλειωτικὸν νομὸν περιέχουσα, ἢ εἴ πού τις ἐκτροπὴ διώρυγι ἐπὶ πλέον εἰς λίμνην μεγάλην καὶ χώραν, ἣν ποτίζειν δύναται, καθάπερ ἐπὶ τῆς τὸν Ἀρσινοΐτην νομὸν ποτιζούσης καὶ τὴν Μοίριδος λίμνην καὶ τῶν εἰς τὴν Μαρεῶτιν ἀναχεομένων. Συλλήβδην δ᾽ εἰπεῖν, ἡ ποταμία μόνον ἐστὶν Αἴγυπτος ἡ ἑκατέρωθεν ἐσχάτη τοῦ Νείλου, σπάνιον εἴ που τριακοσίων σταδίων ἐπέχουσα συνεχῶς πλάτος τὸ οἰκήσιμον ἀρξαμένη ἀπὸ τῶν ὅρων τῆς Αἰθιοπίας μέχρι τῆς κορυφῆς τοῦ Δέλτα. Ἔοικεν οὖν κειρίᾳ ψυχομένῃ ἐπὶ μῆκος, ὑπεξαιρουμένων τῶν ἐπὶ πλέον ἐκτροπῶν. Ποιεῖ δὲ τὸ σχῆμα τοῦτο τῆς ποταμίας ἧς λέγω καὶ τῆς χώρας τὰ ὄρη τὰ ἑκατέρωθεν ἀπὸ τῶν περὶ Συήνην τόπων καταγόμενα μέχρι τοῦ Αἰγυπτίου πελάγους· ἐφ᾽ ὅσον γὰρ ταῦτα παρατείνει καὶ διέστηκεν ἀπ᾽ ἀλλήλων, ἐπὶ τοσοῦτον καὶ ὁ ποταμὸς συνάγεταί τε καὶ διαχεῖται καὶ διασχηματίζει τὴν χώραν διαφόρως τὴν οἰκήσιμον· ἡ δὲ ὑπὲρ τῶν ὀρῶν ἐπὶ συχνὸν ἀοίκητός ἐστιν.

5. Οἱ μὲν οὖν ἀρχαῖοι στοχασμῷ τὸ πλέον, οἱ δ᾽ ὕστερον αὐτόπται

γενηθέντες ᾔσθοντο ὑπὸ ὄμβρων θερινῶν πληρούμενον τὸν Νεῖλον, τῆς Αἰθιοπίας τῆς ἄνω κλυζομένης, καὶ μάλιστα ἐν τοῖς ἐσχάτοις ὄρεσι, παυσαμένων δὲ τῶν ὄμβρων παυομένην κατ' ὀλίγον τὴν πλημμυρίδα· τοῦτο δ' ὑπῆρξε μάλιστα δῆλον τοῖς πλέουσι τὸν Ἀράβιον κόλπον μέχρι τῆς κινναμωμοφόρου καὶ τοῖς ἐκπεμπομένοις ἐπὶ τὴν τῶν ἐλεφάντων θήραν... Οἱ μὲν οὖν ἀρχαῖοι τὸ οἰκούμενον αὐτὸ καὶ ποτιζόμενον ὑπὸ τοῦ Νείλου μόνον Αἴγυπτον ἐκάλουν ἀπὸ τῶν περὶ Συήνην τόπων ἀρξάμενοι μέχρι τῆς θαλάττης, οἱ δ' ὕστερον μέχρι νῦν προσέλαβον ἐκ μὲν τῶν πρὸς ἕω μερῶν [τὰ] μεταξὺ τοῦ Ἀραβίου κόλπου καὶ τοῦ Νείλου σχεδόν τι πάντα (οἱ δ' Αἰθίοπες οὐ πάνυ χρῶνται τῇ Ἐρυθρᾷ θαλάττῃ), ἐκ δὲ τῶν ἑσπερίων τὰ μέχρι τῶν αὐάσεων καὶ ἐν τῇ παραλίᾳ τὰ ἀπὸ τοῦ Κανωβικοῦ στόματος μέχρι Καταβαθμοῦ καὶ τῆς Κυρηναίων ἐπικρατείας.

Γεωγραφικῶν Ζ.

IV,1. Ἐνταῦθα δ' ἐστὶν ὁ ἰσθμὸς ὁ διείργων τὴν σαπρὰν λεγομένην λίμνην ἀπὸ τῆς θαλάττης σταδίων [ὢν] τετταράκοντα καὶ ποιῶν τὴν Ταυρικὴν καὶ Σκυθικὴν λεγομένην χεῤῥόνησον· οἱ δὲ τριακοσίων ἑξήκοντα τὸ πλάτος τοῦ ἰσθμοῦ φασιν...**IV,3.** Αὕτη δ' ἦν πρότερον αὐτόνομος, πορθουμένη δὲ ὑπὸ τῶν βαρβάρων ἠναγκάσθη προστάτην ἑλέσθαι Μιθριδάτην τὸν Εὐπάτορα, στρατηγιῶντα ἐπὶ τοὺς ὑπὲρ τοῦ ἰσθμοῦ μέχρι Βορυσθένους βαρβάρους· ταῦτα δ' ἦν ἐπὶ Ῥωμαίους παρασκευή. Ἐκεῖνος μὲν οὖν κατὰ ταύτας τὰς ἐλπίδας ἄσμενος πέμψας εἰς τὴν Χεῤῥόνησον στρατιὰν ἅμα πρός τε τοὺς Σκύθας ἐπολέμει Σκίλουρόν τε καὶ τοὺς Σκιλούρου παῖδας τοὺς περὶ Πάλακον, οὓς Ποσειδώνιος μὲν πεντήκοντά φησιν, Ἀπολλωνίδης δὲ ὀγδοήκοντα· ἅμα δὲ τούτους τε ἐχειρώσατο βίᾳ καὶ Βοσπόρου κατέστη κύριος παρ' ἑκόντος λαβὼν Παιρισάδου τοῦ κατέχοντος. Ἐξ ἐκείνου δὴ τοῦ χρόνου τοῖς τοῦ Βοσπόρου δυνάσταις ἡ τῶν Χεῤῥονησιτῶν πόλις ὑπήκοος μέχρι νῦν ἐστι. Τὸ δ' ἴσον ὁ Κτενοῦς διέχει τῆς τε τῶν Χεῤῥονησιτῶν πόλεως καὶ τοῦ συμβόλων λιμένος... Ἐν δὲ τῇ ὀρεινῇ τῶν Ταύρων καὶ τὸ ὄρος ἐστὶν ὁ Τραπεζοῦς, ὁμώνυμον τῇ πόλει τῇ περὶ τὴν Τιβαρανίαν καὶ τὴν Κολχίδα· καὶ ἄλλο δ' ἐστὶν ὄρος Κιμμέριον κατὰ τὴν αὐτὴν ὀρεινήν, δυναστευσάντων ποτὲ τῶν Κιμμερίων ἐν τῷ Βοσπόρῳ· καθ' ὃ καὶ Κιμμερικὸς Βόσπορος καλεῖται, τοῦ πορθμοῦ πᾶν ὃ ἐπέχει τὸ στόμα

τῆς Μαιώτιδος... IV,4. Μετὰ δὲ τὴν ὀρεινὴν τὴν λεχθεῖσαν ἡ Θεοδοσία κεῖται πόλις, πεδίον εὔγεων ἔχουσα καὶ λιμένα ναυσὶ καὶ ἑκατὸν ἐπιτήδειον· οὗτος δὲ ὅρος ἦν πρότερον τῆς τῶν Βοσποριανῶν καὶ Ταύρων γῆς· καὶ ἡ ἑξῆς δ' ἐστὶν εὔγεως χώρα μέχρι Παντικαπαίου, τῆς μητροπόλεως τῶν Βοσποριανῶν ἱδρυμένης ἐπὶ τῷ στόματι τῆς Μαιώτιδος. Ἔστι δὲ τὸ μεταξὺ τῆς Θεοδοσίας καὶ τοῦ Παντικαπαίου σταδίων περὶ πεντακοσίων καὶ τριάκοντα, χώρα πᾶσα σιτοφόρος, κώμας ἔχουσα καὶ πόλιν εὐλίμενον τὸ Νύμφαιον καλούμενον. Τὸ δὲ Παντικάπαιον λόφος ἐστὶ πάντη περιοικούμενος ἐν κύκλῳ σταδίων εἴκοσι· πρὸς ἕω δ' ἔχει λιμένα καὶ νεώρια ὅσον τριάκοντα νεῶν, ἔχει δὲ καὶ ἀκρόπολιν· κτίσμα δ' ἐστὶ Μιλησίων. Ἐμοναρχεῖτο δὲ πολὺν χρόνον ὑπὸ δυναστῶν τῶν περὶ Λεύκωνα καὶ Σάτυρον καὶ Παιρισάδην αὕτη τε καὶ αἱ πλησιόχωροι κατοικίαι πᾶσαι αἱ περὶ τὸ στόμα τῆς Μαιώτιδος ἑκατέρωθεν μέχρι Παιρισάδου τοῦ Μιθριδάτῃ παραδόντος τὴν ἀρχήν. Ἐκαλοῦντο δὲ τύραννοι, καίπερ οἱ πλείους ἐπιεικεῖς γεγονότες, ἀρξάμενοι ἀπὸ Παιρισάδου καὶ Λεύκωνος. Παιρισάδης δὲ καὶ θεὸς νενόμισται· τούτῳ δὲ ὁμώνυμος καὶ ὁ ὕστατος, ὃς οὐχ οἷός τε ὢν ἀντέχειν πρὸς τοὺς βαρβάρους φόρον πραττομένους μείζω τοῦ πρότερον, Μιθριδάτῃ τῷ Εὐπάτορι παρέδωκε τὴν ἀρχήν· ἐξ ἐκείνου δ' ἡ βασιλεία γεγένηται Ῥωμαίοις ὑπήκοος. Τὸ μὲν οὖν πλέον αὐτῆς μέρος ἐστὶν ἐπὶ τῆς Εὐρώπης, μέρος δέ τι καὶ ἐπὶ τῆς Ἀσίας. IV,5. Τὸ δὲ στόμα τῆς Μαιώτιδος καλεῖται μὲν Κιμμερικὸς Βόσπορος, ἄρχεται δὲ ἀπὸ μείζονος πλάτους ἑβδομήκοντά που σταδίων· καθ' ὃ διαίρουσιν ἐκ τῶν περὶ Παντικάπαιον τόπων εἰς τὴν ἐγγυτάτω πόλιν τῆς Ἀσίας τὴν Φαναγόρειαν· τελευτᾷ δ' εἰς πολὺ στενώτερον πορθμόν. Διαιρεῖ δ' ὁ στενωπὸς οὗτος τὴν Ἀσίαν ἀπὸ τῆς Εὐρώπης καὶ ὁ Τάναϊς ποταμός, καταντικρὺ ῥέων ἀπὸ τῶν ἄρκτων εἴς τε τὴν λίμνην καὶ τὸ στόμα αὐτῆς.

Страбон (ок. 63 – 19 гг. до н. э.) – автор «Географии» в семнадцати книгах, где содержится историко-географическое описание Европы, Азии и Африки. Источниками служили как наблюдения во время путешествий, так и труды Эратосфена, Посидония и др. В XVII книге (I, 3—5) речь идет о Египте, его кастовом строе, о роли Нила. В VII книге (IV, 1—5) находятся ценные сведения о Северном Причерноморье античной эпохи.

XVII,I,3. ἐλάττους τῶν τριάκοντα (καὶ ἕξ) 36 – по конъектуре

Мейнеке. ἄρουραι арура – мера земельной площади, егип. ок. 0,2 га, греч. ок. 0, 024 га (ср. Геродот, II,168). γεωμετρία досл. «измерение земли». διὰ τὰς ἐμπορίας Страбон (XVI,I,24) говорит о развитии тех же наук у сидонян и об их пользе купцу и мореплавателю. λογιστική подразум. τέχνη. ἐπ' ἐκείνου ἄρξαντος подразум. Πετρωνίου.

4. ὥς φησι Πλάτων см. «Тимей», 21E. τὴν κάτω χώραν речь идет о Нижнем Египте (ср. I,2,23). διώρυγι о каналах, ведущих в озеро Меотиду, пишет Геродот (II,149). ποτιζούσης подразум. διώρυγος. τῆς ποταμίας ἧς λέγω аттракция относительного местоимения (см. § 104). ἀοίκητος о малонаселенных областях Страбон пишет также в I,2,25.

5. τῆς κιν(ν)αμωφόρου подразум. χώρας Страны корицы, τὸ κιν(ν)άμωμον корица, φορέω (φέρω) приносить. τὴν τῶν ἐλεφάντων θήραν об охоте на слонов говорится и в XVI,4,7.

VII,4,1. ὁ ἰσθμός соврем. Перекоп. Σαπράν теперь «Гнилое море», или Сиваш.

3. αὕτη т. е. древний Херсонес. ὑπὲρ τοῦ ἰσθμοῦ т. е. за Перекопом. τοῦ πορθμοῦ πᾶν Керченский пролив.

4. Παιρισάδης...θεὸς νενόμισται именно Парисад I (347 – 309 до н.э.). ὁ ὕστατος т.е. Парисад V.

Πλουτάρχου Κράσσος

VIII,1. Ἡ δὲ τῶν μονομάχων ἐπανάστασις καὶ λεηλασία τῆς Ἰταλίας, ἣν οἱ πολλοὶ Σπαρτάκειον πόλεμον ὀνομάζουσιν, ἀρχὴν ἔλαβεν ἐκ τοιαύτης αἰτίας. **2.** Λέντλου τινὸς Βατιάτου μονομάχους ἐν Καπύῃ τρέφοντος, ὧν οἱ πολλοὶ Γαλάται καὶ Θρᾷκες ἦσαν, ἐξ αἰτιῶν οὐ πονηρῶν, ἀλλ' ἀδικίᾳ τοῦ πριαμένου συνειρχθέντες ὑπ' ἀνάγκης ἐπὶ τῷ μονομαχεῖν, ἐβουλεύσαντο μὲν διακόσιοι φεύγειν· γενομένης δὲ μηνύσεως οἱ προαισθόμενοι καὶ φθάσαντες ὀγδοήκοντα δυεῖν δέοντες ἔκ τινος ὀπτανείου κοπίδας ἀράμενοι καὶ ὀβελίσκους ἐξεπήδησαν. **3.** Ἐντυχόντες δὲ κατὰ τὴν ὁδὸν ἁμάξαις ὅπλα κομιζούσαις μονομάχων εἰς ἑτέραν πόλιν, ἀφήρπασαν καὶ ὡπλίσαντο, καὶ τόπον τινὰ καρτερὸν καταλαβόντες, ἡγεμόνας εἵλοντο τρεῖς, ὧν πρῶτος ἦν Σπάρτακος, ἀνὴρ Θρᾷξ τοῦ Μαιδικοῦ γένους, οὐ μόνον φρόνημα μέγα καὶ ῥώμην ἔχων,

ἀλλὰ καὶ συνέσει καὶ πρᾳότητι τῆς τύχης ἀμείνων καὶ τοῦ γένους ἑλληνικώτερος. 4. Τούτῳ δὲ λέγουσιν, ὅτε πρῶτον εἰς Ῥώμην ὤνιος ἤχθη, δράκοντα κοιμωμένῳ περιπεπλεγμένον φανῆναι περὶ τὸ πρόσωπον, [ἡ] γυνὴ δ' ὁμόφυλος οὖσα τοῦ Σπαρτάκου, μαντικὴ δὲ καὶ κάτοχος τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς, ἔφραζε τὸ σημεῖον εἶναι μεγάλης καὶ φοβερᾶς περὶ αὐτὸν εἰς ἀτυχὲς τέλος ἐσομένης δυνάμεως· ἣ καὶ τότε συνῆν αὐτῷ καὶ συνέφευγε.

IX,1. Καὶ πρῶτον μὲν τοὺς ἐκ Καπύης ἐλθόντας ὠσάμενοι, καὶ πολλῶν ὅπλων ἐπιλαβόμενοι πολεμιστηρίων, ἄσμενοι ταῦτα μετελάμβανον, ἀποῤῥίψαντες ὡς ἄτιμα καὶ βάρβαρα τὰ τῶν μονομάχων. 2. Ἔπειτα Κλωδίου στρατηγοῦ μετὰ τρισχιλίων πεμφθέντος ἐκ Ῥώμης καὶ πολιορκοῦντος αὐτοὺς ἐν ὄρει μίαν ἔχοντι χαλεπὴν καὶ στενὴν κάθοδον, ἣν ὁ Κλώδιος ἐφρούρει, τὰ δ' ἄλλα κρημνοὺς ἀποτόμους καὶ λισσάδας, ἄμπελον δὲ πολλὴν ἀγρίαν ἐπιπολῆς πεφυκυῖαν, ἔτεμνον τῶν κλημάτων τὰ χρήσιμα, καὶ συμπλέκοντες ἐξ αὐτῶν κλιμακίδας εὐτόνους καὶ βαθείας, ὥστ' ἄνωθεν ἀνηρτημένας παρὰ τὸ κρημνῶδες ἅπτεσθαι τῶν ἐπιπέδων, κατέβαινον ἀσφαλῶς δι' αὐτῶν πλὴν ἑνός. 3. Οὗτος δὲ τῶν ὅπλων ἕνεκα μείνας, ἐπεὶ κατέβησαν ἠφίει κάτω τὰ ὅπλα, καὶ βαλὼν ἅπαντα τελευταῖος ἀπεσῴζετο καὶ αὐτός. Ταῦτ' ἠγνόουν οἱ Ῥωμαῖοι· διὸ καὶ περιελθόντες αὐτοὺς ἐξέπληξαν τῷ αἰφνιδίῳ, καὶ φυγῆς γενομένης ἔλαβον τὸ στρατόπεδον. 4. Καὶ προσεγίνοντο πολλοὶ τῶν αὐτόθι βοτήρων καὶ ποιμένων αὐτοῖς, πλῆκται καὶ ποδώκεις ἄνδρες, ὧν τοὺς μὲν ὥπλιζον, τοῖς δὲ προδρόμοις καὶ ψιλοῖς ἐχρῶντο... 7. Ἦν μὲν ὁ Σπάρτακος ἤδη μέγας καὶ φοβερός, ἐφρόνει δὲ τὰ εἰκότα, καὶ μὴ προσδοκῶν ὑπερβαλέσθαι τὴν Ῥωμαίων δύναμιν, ἦγεν ἐπὶ τὰς Ἄλπεις τὸν στρατόν, οἰόμενος δεῖν ὑπερβαλόντας αὐτὰς ἐπὶ τὰ οἰκεῖα χωρεῖν, τοὺς μὲν εἰς Θρᾴκην, τοὺς δ' εἰς Γαλατίαν. 8. Οἱ δὲ πλήθει τ' ὄντες ἰσχυροὶ καὶ μέγα φρονοῦντες, οὐχ ὑπήκουον, ἀλλ' ἐπόρθουν ἐπιπορευόμενοι τὴν Ἰταλίαν...

X,1. Ταῦθ' ἡ βουλὴ πυθομένη, τοὺς μὲν ὑπάτους πρὸς ὀργὴν ἐκέλευσεν ἡσυχίαν ἄγειν, Κράσσον δὲ τοῦ πολέμου στρατηγὸν εἵλετο, καὶ πολλοὶ διὰ δόξαν αὐτῷ καὶ φιλίαν συνεστράτευον τῶν ἐπιφανῶν... 6. Ὁ δὲ Σπάρτακος ὑπεξεχώρει διὰ Λευκανίας πρὸς τὴν θάλασσαν. Ἐν δὲ τῷ πορθμῷ λῃστρίσι Κιλίσσαις περιτυχών, ὥρμησεν ἅψασθαι Σικελίας καὶ δισχιλίους ἄνδρας ἐμβαλὼν εἰς τὴν νῆσον αὖθις ἐκζωπυρῆσαι τὸν δουλικὸν ἐκεῖ πόλεμον, οὔπω πολὺν χρόνον

ἀπεσβηκότα καὶ μικρῶν πάλιν ὑπεκκαυμάτων δεόμενον. 7. Ὁμολογήσαντες δ' οἱ Κίλικες αὐτῷ καὶ δῶρα λαβόντες, ἐξηπάτησαν καὶ ἀπέπλευσαν. Οὕτω δὴ πάλιν ἀπὸ θαλάσσης ἀναζεύξας, ἐκάθισε τὸν στρατὸν εἰς τὴν Ῥηγίνων χεῤῥόνησον. Ἐπελθὼν δ' ὁ Κράσσος καὶ τοῦ τόπου τὴν φύσιν ἰδὼν ὑφηγουμένην τὸ δέον, ὥρμησεν ἀποτειχίσαι τὸν ἰσθμόν, ἅμα καὶ τὴν σχολὴν τῶν στρατιωτῶν ὑφαιρῶν καὶ τὴν εὐπορίαν τῶν πολεμίων. 8. Μέγα μὲν οὖν ἦν καὶ χαλεπὸν τὸ ἔργον, ἤνυσε δὲ καὶ κατειργάσατο παρὰ δόξαν ἐν ὀλίγῳ χρόνῳ, τάφρον ἐμβαλὼν ἐκ θαλάσσης εἰς θάλασσαν διὰ τοῦ αὐχένος σταδίων τριακοσίων, εὖρος δὲ καὶ βάθος ἴσον πεντεκαίδεκα ποδῶν· ὑπὲρ δὲ τῆς τάφρου τεῖχος ἔστησεν ὕψει καὶ ῥώμῃ θαυμαστόν. 9. Ὧν ὁ Σπάρτακος ἠμέλει καὶ κατεφρόνει τὸ πρῶτον· ὡς δὲ τῆς λείας ὑπολειπούσης προϊέναι βουλόμενος συνεῖδε τὸν ἀποτειχισμόν, καὶ λαμβάνειν οὐδὲν ἦν ἐκ τῆς χεῤῥονήσου, νύκτα νιφετώδη καὶ πνεῦμα χειμέριον παραφυλάξας, ἔχωσε τῆς τάφρου μέρος οὐ πολὺ γῇ καὶ ὕλῃ καὶ κλάδοις δένδρων, ὥστε τῆς στρατιᾶς περαιῶσαι τὸ τρίτον.

XI,1. Ἐφοβήθη μὲν οὖν ὁ Κράσσος, μὴ λάβοι τις ὁρμὴ τὸν Σπάρτακον ἐπὶ τὴν Ῥώμην ἐλαύνειν, ἐθάῤῥησε δὲ πολλῶν ἐκ διαφορᾶς ἀποστάντων αὐτοῦ καὶ στρατοπεδευσαμένων καθ' αὑτοὺς ἐπὶ Λευκανίδος λίμνης, ἥν φασι τρέπεσθαι διὰ χρόνου γινομένην γλυκεῖαν, εἶτ' αὖθις ἁλμυρὰν καὶ ἄποτον... 6. Σπαρτάκῳ δὲ...ἀναχωροῦντι πρὸς τὰ ὄρη τὰ Πετηλῖνα Κόιντος τῶν περὶ Κράσσον ἡγεμόνων καὶ Σκρώφας ὁ ταμίας ἐξαπτόμενοι παρηκολούθουν. Ἐπιστρέψαντος δὲ γίνεται φυγὴ μεγάλη τῶν Ῥωμαίων, καὶ μόλις τρωθέντα τὸν ταμίαν ἁρπάσαντες ἀπεσώθησαν. Τοῦτο τὸν Σπάρτακον ἀπώλεσε τὸ κατόρθωμα, φρονήματος ἐπιγενομένου τοῖς δραπέταις. 7. Οὐκέτι γὰρ ἠξίουν φυγομαχεῖν οὐδ' ἐπείθοντο τοῖς ἄρχουσιν, ἀλλ' ἤδη καθ' ὁδὸν ὄντας ἐν τοῖς ὅπλοις περισχόντες ἠνάγκασαν αὖθις ὀπίσω διὰ τῆς Λευκανίας ἄγειν ἐπὶ τοὺς Ῥωμαίους, εἰς ταὐτὸ τῷ Κράσσῳ σπεύδοντες. 8. Ἤδη γὰρ ὁ Πομπήιος προσιὼν ἀπηγγέλλετο, καὶ διαρχαιρεσιάζοντες ἦσαν οὐκ ὀλίγοι τὴν νίκην ἐκείνῳ τοῦ πολέμου προσήκειν· ἐλθόντα γὰρ εὐθὺς μαχεῖσθαι καὶ καταλύσειν τὸν πόλεμον. Ἐπειγόμενος οὖν διαγωνίσασθαι καὶ παραστρατοπεδεύσας τοῖς πολεμίοις, ὤρυττε τάφρον, πρὸς ἣν ἐκπηδῶντες οἱ δοῦλοι προσεμάχοντο τοῖς ἐργαζομένοις. Ἀεὶ δὲ πλειόνων ἑκατέρωθεν ἐκβοηθούντων, ὁρῶν τὴν ἀνάγκην ὁ Σπάρτακος ἅπαν παρέταξε τὸ στράτευμα. 9. Καὶ πρῶτον μὲν τοῦ ἵππου

προσαχθέντος αὐτῷ, σπασάμενος τὸ ξίφος καὶ εἰπών, ὅτι νικῶν μὲν ἕξει πολλοὺς ἵππους καὶ καλοὺς τοὺς τῶν πολεμίων, ἡττώμενος δ' οὐ δεῖται, κατέσφαξε τὸν ἵππον· ἔπειτα πρὸς Κράσσον αὐτὸν ὠθούμενος διὰ πολλῶν ὅπλων καὶ τραυμάτων, ἐκείνου μὲν οὐκ ἔτυχεν, ἑκατοντάρχας δὲ δύο συμπεσόντας ἀνεῖλε. 10. Τέλος δὲ φευγόντων τῶν περὶ αὐτόν, αὐτὸς ἑστὼς καὶ κυκλωθεὶς ὑπὸ πολλῶν, ἀμυνόμενος κατεκόπη.

Плутарх (ок. 45 – 120 гг.) – греческий историк эпохи римского владычества. Сохранились так называемые «Моральные сочинения» – многочисленные трактаты по философии, богословию, истории, этике, политике, естественным наукам. Наибольшую известность Плутарху принесли «Сравнительные жизнеописания» – сгруппированные попарно биографии греческих и римских деятелей. Биография Красса (сопоставленная с биографией Никия) – ценный источник по истории восстания Спартака (VIII,1 – X,10).

VIII,1. Σπαρτάκειον πόλεμον начало восстания Спартака – 74 г. до н.э.

2. ἀδικίᾳ dativus causae. 3. συνέσει καὶ πρᾳότητι dativus causae. 4. γυνή несмотря на «варварское» происхождение, жена Спартака была посвящена в какие-то мистерии в честь Диониса.

IX,2. Κλωδίου Гай Клавдий Габр был претором в 73 г. до н.э. ἐν ὄρει на Везувии.

X,6. δουλικὸν πόλεμον имеется ввиду второе восстание рабов в Сицилии (104 – 99 гг. до н.э.). 7. Ῥηγίνων χερρόνησον Регий – город на берегу Мессинского пролива на юго-западной оконечности Бруттия. σχολήν здесь «вредное безделье». 9. ἦν от ἔστι (§ 125).

XI,6. τὰ ὄρη τὰ Πετηλῖνα Петелия – город на восточном берегу Бруттия. ἐπιστρέψαντος подразум. Σπαρτάκου. 7. ἄγειν подразум. αὐτούς. Ῥωμαίους = Ῥώμην. τῷ Κράσσῳ dativus .sociativus. 8. ὤρυττε – imperfectum de conatu (§ 17). 9. οὐ δεῖται подразум. ἵππου. 10. τέλος accusativus adverbialis «наконец». Κατεκόπη Спартак был убит в 71 г. до н. э.

'Αππιανοῦ 'Αλεξάδρεως Ῥωμαικῶν ἐμφυλίων Β.

1. Μετὰ δὲ τὴν Σύλλα μοναρχίαν καὶ ὅσα ἐπ' αὐτῇ Σερτώριός τε καὶ Περπέννας περὶ Ἰβηρίαν ἔδρασαν, ἕτερα ἐμφύλια Ῥωμαίοις τοιάδε ἐγίγνετο· μέχρι Γάιος Καῖσαρ καὶ Πομπήιος Μάγνος ἀλλήλοις ἐπολέμησαν καὶ Πομπήιον μὲν καθεῖλεν ὁ Καῖσαρ, Καίσαρα δ' ἐν τῷ βουλευτηρίῳ τινές, ὡς βασιλιζόμενον, κατέκανον. Ταῦτα δὲ ὅπως ἐγένετο, καὶ ὅπως ἀνῃρέθησαν ὅ τε Πομπήιος καὶ ὁ Γάιος, ἡ δευτέρα τῶν ἐμφυλίων ἥδε δηλοῖ.

Ὁ μὲν Πομπήιος, ἄρτι τὴν θάλασσαν καθήρας ἀπὸ τῶν ληστηρίων τότε μάλιστα πανταχοῦ πλεονασάντων, Μιθριδάτην ἐπὶ τοῖς λῃσταῖς καθῃρήκει, Πόντου βασιλέα· καὶ τὴν ἀρχὴν αὐτοῦ, καὶ ὅσα ἄλλα ἔθνη προσέλαβεν ἀμφὶ τὴν ἕω, διετάσσετο. Ὁ δὲ Καῖσαρ ἦν ἔτι νέος, δεινὸς εἰπεῖν τε καὶ πρᾶξαι, τολμῆσαί τε ἐς πάντα, καὶ ἐλπίσαι περὶ ἁπάντων, ἐς δὲ δὴ φιλοτιμίαν ἀφειδὴς ὑπὲρ δύναμιν· ὡς ἀγορανομῶν ἔτι καὶ στρατηγῶν εἶναι κατάχρεως καὶ τῷ πλήθει δαιμονίως ὑπεραρέσκειν, τῶν δήμων αἰεὶ τοὺς δαψιλεῖς ἐπαινούντων. 2.Γάιος δὲ Κατιλίνας, μεγέθει τε δόξης καὶ γένους λαμπρότητι περιώνυμος, ἔμπληκτος ἀνήρ, δόξας ποτὲ καὶ υἱὸν ἀνελεῖν δι' Αὐρηλίας Ὀρεστίλλης ἔρωτα, οὐχ ὑφισταμένης τῆς Ὀρεστίλλης παῖδα ἔχοντι γήμασθαι, Σύλλα φίλος τε καὶ στασιώτης καὶ ζηλωτὴς μάλιστα γεγονώς· ἐκ δὲ φιλοτιμίας καὶ ὧδε ἐς πενίαν ὑπενηνεγμένος, καὶ θεραπευόμενος ἔτι πρὸς δυνατῶν ἀνδρῶν τε καὶ γυναικῶν· ἐς ὑπατείαν παρήγγελλεν, ὡς τῇδε παροδεύσων ἐς τυραννίδα. Πάγχυ δ' ἐλπίσας αἱρεθήσεσθαι διὰ τὴν ὑποψίαν τήνδε ἀπεκρούσθη, καὶ Κικέρων μὲν ἦρχεν ἀντ' αὐτοῦ, ἀνὴρ ἥδιστος εἰπεῖν τε καὶ ῥητορεῦσαι, Κατιλίνας δ' αὐτὸν ἐς ὕβριν τῶν ἑλομένων ἐπέσκωπτεν, ἐς μὲν ἀγνωσίαν γένους καινὸν ὀνομάζων (καλοῦσι δ' οὕτω τοὺς ἀφ' ἑαυτῶν, ἀλλ' οὐ τῶν προγόνων γνωρίμους), ἐς δὲ ξενίαν τῆς πόλεως, ἰγκουΐλῖνον, ᾧ ῥήματι καλοῦσι τοὺς ἐνοικοῦντας ἐν ἀλλοτρίαις οἰκίαις. Αὐτὸς δὲ πολιτείαν μὲν ὅλως ἔτι ἀπεστρέφετο ἐκ τοῦδε, ὡς οὐδὲν ἐς μοναρχίαν ταχὺ καὶ μέγα φέρουσαν, ἀλλ' ἔριδος καὶ φθόνου μεστήν· χρήματα δ' ἀγείρων πολλὰ παρὰ πολλῶν γυναικῶν, αἳ τοὺς ἄνδρας ἤλπιζον ἐν τῇ ἐπαναστάσει διαφθερεῖν, συνώμνυτό τισιν ἀπὸ τῆς βουλῆς καὶ τῶν καλουμένων ἱππέων· συνῆγε δὲ καὶ δημότας καὶ ξένους καὶ θεράποντας. Καὶ πάντων ἡγεμόνες ἦσαν αὐτῷ Κορνήλιος Λέντλος καὶ Κέθηγος, οἳ τότε τῆς πόλεως ἐστρατήγουν. Ἀνά τε τὴν Ἰταλίαν περιέπεμπεν ἐς τῶν Συλλείων τοὺς

τὰ κέρδη τῆς τότε βίας ἀναλωκότας, καὶ ὀρεγομένους ἔργων ὁμοίων, ἐς μὲν Φαισούλας τῆς Τυῤῥηνίας Γάιον Μάλλιον, ἐς δὲ τὴν Πικηνίτιδα καὶ τὴν Ἀπουλίαν ἑτέρους, οἳ στρατὸν αὐτῷ συνέλεγον ἀφανῶς.

3. Καὶ τάδε πάντα ἔτι ἀγνοούμενα, Φουλβία γύναιον οὐκ ἀφανὲς ἐμήνυε τῷ Κικέρωνι· ἧς ἐρῶν Κόιντος Κούριος, ἀνὴρ δι᾽ ὀνείδη πολλὰ τῆς βουλῆς ἀπεωσμένος, καὶ τῆσδε τῆς Κατιλίνα συνθήκης ἠξιωμένος, κούφως μάλα καὶ φιλοτίμως ἐξέφερεν, οἷα πρὸς ἐρωμένην, ὡς αὐτίκα δυναστεύσων. Ἤδη δὲ καὶ περὶ τῶν ἐν τῇ Ἰταλίᾳ γιγνομένων λόγος ἐφοίτα. Καὶ ὁ Κικέρων τήν τε πόλιν ἐκ διαστημάτων φρουραῖς διελάμβανε, καὶ τῶν ἐπιφανῶν ἐξέπεμπε πολλοὺς ἐς πάντα τὰ ὕποπτα, τοῖς γιγνομένοις ἐφεδρεύειν. Κατιλίνας δ᾽, οὐδενὸς μέν πω θαῤῥοῦντος αὐτοῦ λαβέσθαι, διὰ τὴν ἔτι τοῦ ἀκριβοῦς ἀγνωσίαν, δεδιὼς δὲ ὅμως, καὶ τὸ χρόνιον ἡγούμενος ὕποπτον, ἐν δὲ τῷ τάχει τὴν ἐλπίδα τιθέμενος, τά τε χρήματα προύπεμπεν ἐς Φαισούλας, καὶ τοῖς συνωμόταις ἐντειλάμενος κτεῖναι Κικέρωνα, καὶ τὴν πόλιν ἐκ διαστημάτων πολλῶν νυκτὸς ἐμπρῆσαι μιᾶς, ἐξῄει πρὸς Γάιον Μάλλιον, ὡς αὐτίκα στρατὸν ἄλλον ἀθροίσων, καὶ ἐς τὸν ἐμπρησμὸν τῆς πόλεως ἐπιδραμούμενος. Ὁ μὲν δὴ ῥάβδους τε καὶ πελέκεας, ὥς τις ἀνθύπατος κούφως μάλα ἀνέσχε πρὸ ἑαυτοῦ, καὶ ἐς τὸν Μάλλιον ἐχώρει στρατολογῶν· Λέντλῳ δὲ καὶ τοῖς συνωμόταις ἔδοξεν, ὅτε Κατιλίναν ἐν Φαισούλαις πυνθάνοιντο γεγενῆσθαι, Λέντλον μὲν αὐτὸν καὶ Κέθηγον ἐφεδρεῦσαι ταῖς Κικέρωνος θύραις περὶ ἕω, μετὰ κεκρυμμένων ξιφιδίων, ἐσδεχθέντας τε διὰ τὴν ἀξίωσιν, καὶ λαλοῦντας ὁτιδὴ μηκῦναι τὴν ὁμιλίαν ἐν περιπάτῳ, καὶ κτεῖναι περισπάσαντας ἀπὸ τῶν ἄλλων· Λεύκιον δὲ Βηστίαν, τὸν δήμαρχον, ἐκκλησίαν εὐθὺς ὑπὸ κήρυξι συνάγειν, καὶ κατηγορεῖν τοῦ Κικέρωνος, ὡς ἀεὶ δειλοῦ καὶ πολεμοποιοῦ, καὶ τὴν πόλιν ἐν οὐδενὶ δεινῷ διαταράττοντος, ἐπὶ δὲ τῇ Βηστίου δημηγορίᾳ, νυκτὸς αὐτίκα τῆς ἐπιούσης, ἑτέρους ἐν δώδεκα τόποις ἐμπιπράναι τὴν πόλιν, καὶ διαρπάζειν, καὶ κατακτείνειν τοὺς ἀρίστους.

4. Ὧδε μὲν Λέντλῳ καὶ Κεθήγῳ καὶ Στατιλίῳ καὶ Κασσίῳ, τοῖς ἄρχουσι τῆς ἐπαναστάσεως, ἐδέδοκτο, καὶ τὸν καιρὸν ἐπετήρουν· Ἀλλοβρίγων δὲ πρέσβεις, αἰτιώμενοι τοὺς ἡγουμένους αὐτῶν ... ἐς τὴν Λέντλου συνωμοσίαν ἐπήχθησαν, ὡς ἀναστήσοντες ἐπὶ Ῥωμαίους τὴν Γαλατίαν. καὶ Λέντλος μὲν αὐτοῖς συνέπεμπεν ἐς Κατιλίναν Βουλτούρκιον, ἄνδρα Κροτωνιάτην, γράμματα χωρὶς ὀνομάτων

γεγραμμένα φέροντα· οἱ δ' Ἀλλόβριγες ἐνδοιάσαντες ἐκοινώσαντο Φαβίῳ Σάγγᾳ, ὃς ἦν τῶν Ἀλλοβρίγων προστάτης· ὥσπερ ἁπάσαις πόλεσιν ἔστι τις ἐν Ῥώμῃ προστάτης. Παρὰ δὲ τοῦ Σάγγα μαθὼν ὁ Κικέρων, συνέλαβεν ἀπιόντας τοὺς Ἀλλόβριγάς τε καὶ Βουλτούρκιον, καὶ ἐς τὴν βουλὴν εὐθὺς ἐπήγαγεν. Οἱ δ' ὡμολόγουν ὅσα τοῖς ἀμφὶ τὸν Λέντλον συνῄδεσαν· ἀχθέντας τε ἤλεγχον, ὡς ὁ Κορνήλιος Λέντλος εἴποι πολλάκις εἱμάρθαι τρεῖς Κορνηλίους γενέσθαι Ῥωμαίων μονάρχους, ὧν ἤδη Κίνναν καὶ Σύλλαν γεγονέναι.

5. Λεχθέντων δὲ τούτων, ἡ μὲν βουλὴ Λέντλον παρέλυσε τῆς ἀρχῆς· ὁ δὲ Κικέρων, ἕκαστον ἐς τὰς οἰκίας τῶν στρατηγῶν διαθείς, ἐπανῆλθεν αὐτίκα καὶ ψῆφον περὶ αὐτῶν ἐδίδου. Θόρυβος δ' ἦν ἀμφὶ τὸ βουλευτήριον, ἀγνοουμένου ἔτι τοῦ ἀκριβοῦς, καὶ δέος τῶν συνεγνωκότων. Αὐτοῦ δὲ Λέντλου καὶ Κεθήγου θεράποντές τε καὶ ἐξελεύθεροι, χειροτέχνας πολλοὺς προσλαβόντες, κατ' ὀπισθίας ὁδοὺς περιῄεσαν ἐπὶ τὰς τῶν στρατηγῶν οἰκίας, ὡς τοὺς δεσπότας ἐξαρπασόμενοι. Ὧν ὁ Κικέρων πυθόμενος, ἐξέδραμεν ἐκ τοῦ βουλευτηρίου, καὶ διαθεὶς ἐς τὰ ἐπίκαιρα φύλακας, ἐπανῆλθε, καὶ τὴν γνώμην ἐπετάχυνεν. Σιλανὸς μὲν δὴ πρῶτος ἔλεγεν, ὃς ἐς τὸ μέλλον ᾕρητο ὑπατεύειν· ὧδε γὰρ Ῥωμαίοις ὁ μέλλων ὑπατεύσειν, πρῶτος ἐσφέρει γνώμην, ὡς αὐτός, οἶμαι, πολλὰ τῶν κυρουμένων ἐργασόμενος, καὶ ἐκ τοῦδε εὐβουλότερόν τε καὶ εὐλαβέστερον ἐνθυμησόμενος περὶ ἑκάστου. Ἀξιοῦντι δὲ τῷ Σιλανῷ τοὺς ἄνδρας ἐσχάτῃ κολάσει μετιέναι, πολλοὶ συνετίθεντο, ἕως, ἐπὶ Νέρωνα τῆς γνώμης περιιούσης, ὁ Νέρων ἐδικαίου φυλάττειν αὐτούς, μέχρι Κατιλίναν ἐξέλωσι πολέμῳ, καὶ τὰ ἀκριβέστατα μάθωσι.

6. ...Γάιός τε Καῖσαρ, οὐ καθαρεύων μὲν ὑπονοίας μὴ συνεγνωκέναι τοῖς ἀνδράσι, Κικέρωνος δ' οὐ θαρροῦντος καὶ τόνδε, ὑπεραρέσκοντα τῷ δήμῳ, ἐς τὸν ἀγῶνα προβαλέσθαι, προσετίθει διαθέσθαι τοὺς ἄνδρας Κικέρωνα τῆς Ἰταλίας ἐν πόλεσιν αἷς ἂν αὐτὸς δοκιμάσῃ, μέχρι Κατιλίνα καταπολεμηθέντος, ἐς δικαστήριον ὑπαχθῶσι, καὶ μηδὲν ἀνήκεστον ἐς ἄνδρας ἐπιφανεῖς ᾖ πρὸ λόγου καὶ δίκης ἐξειργασμένος. Δικαίου δὲ τῆς γνώμης φανείσης καὶ δεχθείσης, ἀκρατῶς οἱ πολλοὶ μετετίθεντο· μέχρι Κάτων ἤδη σαφῶς ἀνακαλύπτων τὴν ἐς τὸν Καίσαρα ὑποψίαν, καὶ ὁ Κικέρων δεδιὼς ἀμφὶ τῇ νυκτὶ προσιούσῃ, μὴ τὸ συνεγνωκὸς τοῖς ἀνδράσι πλῆθος αἰωρούμενον ἔτι κατ' ἀγοράν, καὶ δεδιὸς περί τε σφῶν αὐτῶν καὶ περὶ ἐκείνων,

ἐργάσηταί τι ἄτοπον, ἔπεισαν, ὡς αὐτοφώρων ἄνευ κρίσεως καταγνῶναι. Καὶ εὐθὺς ἐκ τῶν οἰκιῶν, ἔτι τῆς βουλῆς συνεστώσης, ἕκαστον αὐτῶν ὁ Κικέρων ἐς τὸ δεσμωτήριον μεταγαγών, τοῦ πλήθους ἀγνοοῦντος, ἐπεῖδεν ἀποθνήσκοντας· καὶ τοῖς ἐν ἀγορᾷ παροδεύων ἐσήμηνεν, ὅτι τεθνᾶσιν. Οἱ δὲ διελύοντο, πεφρικότες τε καὶ περὶ σφων ἀγαπῶντες, ὡς διαλαθόντες. Οὕτω μὲν ἡ πόλις ἀνέπνευσεν ἀπὸ τοῦ δέους, πολλοῦ σφίσιν ἐκείνης τῆς ἡμέρας ἐπιστάντος.

7. Κατιλίναν δὲ ἐς δισμυρίους τε ἀγείραντα, καὶ τούτων τεταρτημόριον ὁπλίσαντα ἤδη, καὶ ἐς Γαλατίαν ἐπὶ ἄλλην παρασκευὴν ἀπιόντα, Ἀντώνιος, ὁ ἕτερος ὕπατος, ὑπ' Ἀλπείοις καταλαβών, οὐ δυσχερῶς ἐκράτησεν ἀνδρὸς ἐμπλήκτως ἀλλόκοτον ἔργον ἐπὶ νοῦν λαβόντος τε καὶ ἐς πεῖραν ἔτι ἐμπληκτότερον ἀπαρασκεύως προαγαγόντος. Οὐ μὴν ὅ γε Κατιλίνας, οὐδ' ἄλλος οὐδεὶς τῶν συνόντων ἐπιφανῶν φυγεῖν ἠξίωσεν, ἀλλ' ἐσδραμόντες ἐς τοὺς πολεμίους ἀπώλοντο.

Ὧδε μὲν ἡ Κατιλίνα ἐπανάστασις, παρ' ὀλίγον ἐς ἔσχατον ἐλθοῦσα κινδύνου τῇ πόλει, διελύετο. καὶ ὁ Κικέρων, ἅπασιν ἐπὶ λόγου δυνάμει μόνῃ γνώριμος ὤν, τότε καὶ ἐπὶ ἔργῳ διὰ στόματος ἦν, καὶ σωτὴρ ἐδόκει περιφανῶς ἀπολλυμένῃ τῇ πατρίδι γενέσθαι, χάριτές τε ἦσαν αὐτῷ παρὰ τὴν ἐκκλησίαν καὶ εὐφημίαι ποικίλαι. Κάτωνος δ' αὐτὸν καὶ πατέρα τῆς πατρίδος προσαγορεύσαντος, ἐπεβόησεν ὁ δῆμος. Καὶ δοκεῖ τισὶν ἥδε ἡ εὐφημία ἀπὸ Κικέρωνος ἀρξαμένη περιελθεῖν ἐς τῶν νῦν αὐτοκρατόρων τοὺς φαινομένους ἀξίους. οὐδὲ γὰρ τοῖσδε, καίπερ οὖσι βασιλεῦσιν, εὐθὺς ἀπ' ἀρχῆς ἅμα ταῖς ἄλλαις ἐπωνυμίαις, ἀλλὰ σὺν χρόνῳ μόλις, ἥδε, ὡς ἐντελὴς ἐπὶ μεγίστοις δὴ μαρτυρία, ψηφίζεται.

Ῥωμαικῶν ἐμφυλίων Δ΄.

19. Κικέρων δέ, ὃς μετὰ Γάιον Καίσαρα ἴσχυνεν ὅση γένοιτο ἂν δημαγωγοῦ μοναρχία, κατέγνωστο μὲν ἅμα τῷ παιδὶ καὶ τῷ ἀδελφῷ καὶ τῷ παιδὶ τοῦ ἀδελφοῦ καὶ πᾶσιν οἰκείοις τε καὶ στασιώταις καὶ φίλοις, φυγὼν δὲ ἐπὶ σκάφους οὐκ ἔφερε τὴν ἀηδίαν τοῦ κλύδωνος, ἀλλ' εἰς ἴδιον χωρίον, ὃ καθ' ἱστορίαν τοῦδε τοῦ πάθους εἶδον, ἀμφὶ Καιήτην πόλιν τῆς Ἰταλίας, καταχθεὶς ἠρέμει. Πλησιαζόντων δὲ τῶν ἐρευνωμένων (τοῦτον γὰρ δὴ φιλοτιμότατα πάντων Ἀντώνιός τε ἐζήτει καὶ Ἀντωνίῳ πάντες) ἐς τὸ δωμάτιον αὐτοῦ κόρακες ἐσπτάντες ἔκλαζον ἐπεγείροντες ἀπὸ τοῦ ὕπνου, καὶ τὸ ἱμάτιον ἀπέσυρον ἀπὸ τοῦ σώματος,

ἕως οἱ θεράποντες ἡγησάμενοι τὸ γιγνόμενον εἶναι σύμβολον ἐκ τῶν θεῶν, ἐς φορεῖον ἐνθέμενοι τὸν Κικέρωνα αὖθις ἐπὶ τὴν θάλασσαν ἦγον διὰ λόχμης βαθείας λανθάνοντες. Πολλῶν δὲ ἀνὰ μέρη διαθεόντων τε καὶ πυνθανομένων εἴ που Κικέρων ὀραθείη, οἱ μὲν ἄλλοι ἐπ' εὐνοίᾳ καὶ ἐλέῳ πλεῖν αὐτὸν ἐξαναχθέντα ἔλεγον ἤδη, σκυτοτόμος δὲ πελάτης Κλωδίου, πικροτάτου τῷ Κικέρωνι ἐχθροῦ γεγονότος, Λαίνᾳ τῷ λοχαγῷ σὺν ὀλίγοις ὄντι τὴν ἀτραπὸν ἔδειξεν. Ὁ δὲ ἐπέδραμέ τε καὶ θεράποντας ἰδὼν πολὺ πλείους τῶν ἀμφ' αὐτὸν ὁρμῶντας ἐς ἄμυναν, στρατηγικῶς μάλα ἀνεβόησεν· «ἐσελθέτωσαν ἐς τὸ χωρίον οἱ περὶ οὐρὰν λοχαγοί.» Τότε γὰρ οἱ μὲν θεράποντες ὡς ἐλευσομένων πλεόνων κατεπλάγησαν, **20.** ὁ δὲ Λαίνας καὶ δίκην τινὰ διὰ τοῦ Κικέρωνός ποτε κατωρθωκώς, ἐκ τοῦ φορείου τὴν κεφαλὴν ἐπισπάσας ἀπέτεμνεν, ἐς τρὶς ἐπιπλήσσων καὶ ἐκδιαπρίζων ὑπὸ ἀπειρίας. Ἀπέτεμε δὲ καὶ τὴν χεῖρα, ᾗ τοὺς κατὰ Ἀντωνίου λόγους οἷα τυράννου συγγράφων, ἐς μίμημα τῶν Δημοσθένους, Φιλιππικοὺς ἐπέγραφεν. Ἔθεον δὲ οἱ μὲν ἐπὶ ἵππων, οἱ δὲ ἐπὶ νεῶν, αὐτίκα τὸ εὐαγγέλιον Ἀντωνίῳ διαφέροντες· καὶ ὁ Λαίνας ἐν ἀγορᾷ προκαθημένῳ τὴν κεφαλὴν καὶ τὴν χεῖρα μακρόθεν ἐνέσειεν ἐπιδεικνύς. Ὁ δὲ ἥσθη μάλιστα καὶ τὸν λοχαγὸν ἐστεφάνωσε καὶ πλέοσι τῶν ἄθλων ἐδωρήσατο πέντε καὶ εἴκοσι μυριάσιν Ἀττικῶν δραχμῶν, ὡς μέγιστον δὴ τόνδε πάντων ἐχθρὸν καὶ πολεμιώτατόν οἱ γενόμενον ἀνελόντα. Ἡ κεφαλὴ δὲ τοῦ Κικέρωνος καὶ ἡ χεὶρ ἐν ἀγορᾷ τοῦ βήματος ἀπεκρέμαντο ἐπὶ πλεῖστον, ἔνθα πρότερον ὁ Κικέρων ἐδημηγόρει· καὶ πλείους ὀψόμενοι συνέθεον ἢ ἀκροώμενοι. λέγεται δὲ καὶ ἐπὶ τῆς διαίτης ὁ Ἀντώνιος τὴν κεφαλὴν τοῦ Κικέρωνος θέσθαι πρὸ τῆς τραπέζης, μέχρι κόρον ἔσχε τῆς θέας τοῦ κακοῦ.

Ὧδε μὲν δὴ Κικέρων, ἐπί τε λόγοις ἀοίδιμος ἐς ἔτι νῦν ἀνήρ, καὶ ὅτε ἦρχε τὴν ὕπατον ἀρχήν, ἐς τὰ μέγιστα τῇ πατρίδι γεγονὼς χρήσιμος, ἀνῄρητο καὶ ἀνῃρημένος ἐνυβρίζετο· ὁ δὲ παῖς ἐς τὴν Ἑλλάδα προαπέσταλτο ἐς Βροῦτον. Κόιντος δέ, ὁ τοῦ Κικέρωνος ἀδελφός, ἅμα τῷ παιδὶ καταληφθείς, ἐδεῖτο τῶν σφαγέων πρὸ τοῦ παιδὸς αὐτὸν ἀνελεῖν· τὰ δὲ ἐναντία καὶ τοῦ παιδὸς ἱκετεύοντος, οἱ σφαγεῖς ἔφασαν ἀμφοτέροις διαιτήσειν καὶ διαλαβόντες ἕτερον ἕτεροι κατὰ σύνθημα φονεῖς ἀνεῖλον ὁμοῦ.

Аппиан (ок. 95 – 165 гг. н.э.) – автор «Римской истории» в 24-х книгах, из которых сохранились десять, разделенные по содержанию на части: Испанские, Сирийские, Митридатовы и

Гражданские войны. Сведения о заговоре Катилины во 2-й книге «Гражданских войн» (главы 1 – 7) служат ценным дополнением к данным об этом заговоре у Цицерона, Саллюстия, Плутарха, Диона Кассия. В 4-й книге (главы 19-20) изображается гибель Цицерона и его родных во время проскрипций при Антонии в 43 г. до н.э.

II,1. ἔδρασαν с 82 г. до н.э. Серторий был военным трибуном в Испании, вместе с помощником Марком Перпенной собрал войско и в союзе с иберийцами повел войну против Рима. καθεῖλεν в битве при Фарсале в 48 г. до н.э. κατέκανον в мартовские Иды (15 марта) 44 г. до н.э. καθήρας Помпей вел военные действия против пиратов и Митридата в 60-е гг. до н.э. От δεινός зависят инфинитивы отношения (§ 55). ἀγορανομῶν, στρατηγῶν эдилом Цезарь был в 65 г., а претором в 63 г. до н.э.

2. Ὀρεστίλλης о ней подробно говорится в «Заговоре Катилины» Саллюстия. от ἥδιστος зависит инфинитив отношения. καινός (по латыни homo novus) «выскочка». ἰγκουϊλῖνος латинское слово inquilinus «пришелец». ἀπεστρέφετο не соответствует истине: Катилина домогался консульства на 62 г. Κέθηγος о преторстве Цетега Саллюстий и Цицерон не упоминают.

3. κτεῖναι Саллюстий в «Заговоре Катилины» пишет о двух готовившихся покушениях на Цицерона (главы 28 и 43).

4. ἡγουμένους имеются в виду магистраты. χωρὶς ὀνομάτων т.е. без подписей. ἀπιόντας подразум. из Рима.

5. ἐργασόμενος: ἐργάζομαι здесь «осуществлять».

6. πρὸ λόγου καὶ δίκης до суда и следствия. περὶ ἐκείνων логически относится к τοῖς ἀνδράσι.

IV,19. Κλωδίου Клодий Пульхр в 62 г. до н. э. был обвинен Цицероном в святотатстве.

20. Λαίνας ... δίκην ... κατωρθωκώς Плутарх сообщает, что Цицерон защищал Попилия Лената от обвинения в отцеубийстве. ὁ παῖς, ὁ ἀδελφός ἅμα τῷ παιδί сына оратора звали Марк Туллий Цицерон, младшего брата и племянника одинаково – Квинт Туллий Цицерон.

1. Ἦσαν δὲ αὐτῷ ἐγγίζοντες πάντες οἱ τελῶναι καὶ οἱ ἁμαρτωλοὶ
ἀκούειν αὐτοῦ. **2.** Καὶ διεγόγγυζον οἱ Φαρισαῖοι καὶ οἱ γραμματεῖς
λέγοντες, ὅτι οὗτος ἁμαρτωλοὺς προσδέχεται καὶ συνεσθίει αὐτοῖς.
3. Εἶπε δὲ πρὸς αὐτοὺς τὴν παραβολὴν ταύτην, λέγων· **4.** Τίς ἄνθρωπος
ἐξ ὑμῶν ἔχων ἑκατὸν πρόβατα, καὶ ἀπολέσας ἓν ἐξ αὐτῶν, οὐ
καταλείπει τὰ ἐννενηκονταεννέα ἐν τῇ ἐρήμῳ, καὶ πορεύεται ἐπὶ τὸ
ἀπολωλός, ἕως εὕρῃ αὐτό; **5.** καὶ εὑρὼν ἐπιτίθησιν ἐπὶ τοὺς ὤμους
αὐτοῦ χαίρων, **6.** καὶ ἐλθὼν εἰς τὸν οἶκον, συγκαλεῖ τοὺς φίλους καὶ
τοὺς γείτονας, λέγων αὐτοῖς· συγχάρητέ μοι, ὅτι εὗρον τὸ πρόβατόν
μου τὸ ἀπολωλός. **7.** Λέγω ὑμῖν, ὅτι οὕτως χαρὰ ἔσται ἐν τῷ οὐρανῷ
ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ἢ ἐπὶ ἐννενηκονταεννέα δικαίοις,
οἵτινες οὐ χρείαν ἔχουσιν μετανοίας. **8.** Ἢ τίς γυνὴ δραχμὰς ἔχουσα
δέκα, ἐὰν ἀπολέσῃ δραχμὴν μίαν, οὐχὶ ἅπτει λύχνον καὶ σαροῖ τὴν
οἰκίαν καὶ ζητεῖ ἐπιμελῶς, ἕως ὅτου εὕρῃ; **9.** καὶ εὑροῦσα συγκαλεῖ
τὰς φίλας καὶ γείτονας λέγουσα· συγχάρητέ μοι, ὅτι εὗρον τὴν δραχμὴν,
ἣν ἀπώλεσα. **10.** Οὕτως λέγω ὑμῖν, γίνεται χαρὰ ἐνώπιον τῶν ἀγγέλων
τοῦ θεοῦ ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι. **11.** Εἶπε δέ· Ἄνθρωπός τις
εἶχε δύο υἱούς· **12.** καὶ εἶπεν ὁ νεώτερος αὐτῶν τῷ πατρί· Πάτερ, δός
μοι τὸ ἐπιβάλλον μέρος τῆς οὐσίας. Καὶ διεῖλεν αὐτοῖς τὸν βίον. **13.** καὶ
μετ᾿ οὐ πολλὰς ἡμέρας συναγαγὼν ἅπαντα ὁ νεώτερος υἱὸς ἀπεδήμησεν
εἰς χώραν μακρὰν καὶ ἐκεῖ διεσκόρπισε τὴν οὐσίαν αὐτοῦ, ζῶν ἀσώτως.
14. Δαπανήσαντος δὲ αὐτοῦ πάντα, ἐγένετο λιμὸς ἰσχυρὰ κατὰ τὴν
χώραν ἐκείνην, καὶ αὐτὸς ἤρξατο ὑστερεῖσθαι. **15.** Καὶ πορευθεὶς
ἐκολλήθη ἑνὶ τῶν πολιτῶν τῆς χώρας ἐκείνης· καὶ ἔπεμψεν αὐτὸν εἰς
τοὺς ἀγροὺς αὐτοῦ βόσκειν χοίρους. **16.** Καὶ ἐπιθυμεῖ γεμίσαι τὴν
κοιλίαν αὐτοῦ ἀπὸ τῶν κερατίων, ὧν ἤσθιον οἱ χοῖροι· καὶ οὐδεὶς
ἐδίδου αὐτῷ. **17.** Εἰς ἑαυτὸν δὲ ἐλθὼν εἶπε· Πόσοι μίσθιοι τοῦ πατρός
μου περισεύουσιν ἄρτων, ἐγὼ δὲ λιμῷ ἀπόλλυμαι; **18.** ἀναστὰς
πορεύσομαι πρὸς τὸν πατέρα μου καὶ ἐρῶ αὐτῷ· Πάτερ, ἥμαρτον εἰς
τὸν οὐρανὸν καὶ ἐνώπιόν σου· **19.** καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός
σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. **20.** Καὶ ἀναστὰς ἦλθε πρὸς
τὸν πατέρα ἑαυτοῦ. Ἔτι δὲ αὐτοῦ μακρὰν ἀπέχοντος, εἶδεν αὐτὸν ὁ
πατὴρ αὐτοῦ, καὶ ἐσπλαγχνίσθη, καὶ δραμὼν ἐπέπεσεν ἐπὶ τὸν
τράχηλον αὐτοῦ, καὶ κατεφίλησεν αὐτόν. **21.** Εἶπε δὲ αὐτῷ ὁ υἱός·

Πάτερ, ἥμαρτον εἰς τὸν οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκέτι εἰμὶ ἄξιος κληθῆναι υἱός σου. 22. Εἶπε δὲ ὁ πατὴρ πρὸς τοὺς δούλους αὐτοῦ· Ἐξενέγκατε τὴν στολὴν τὴν πρώτην, καὶ ἐνδύσατε αὐτόν, καὶ δότε δακτύλιον εἰς τὴν χεῖρα αὐτοῦ, καὶ ὑποδήματα εἰς τοὺς πόδας· 23. καὶ ἐνέγκαντες τὸν μόσχον τὸν σιτευτὸν θύσατε, καὶ φαγόντες εὐφρανθῶμεν· 24. ὅτι οὗτος ὁ υἱός μου νεκρὸς ἦν, καὶ ἀνέζησε· καὶ ἀπολωλὼς ἦν, καὶ εὑρέθη. Καὶ ἤρξαντο εὐφραίνεσθαι. 25. Ἦν δὲ ὁ υἱὸς αὐτοῦ ὁ πρεσβύτερος ἐν ἀγρῷ· καὶ ὡς ἐρχόμενος ἤγγισεν τῇ οἰκίᾳ, ἤκουσεν συμφωνίας καὶ χορῶν· 26. καὶ προσκαλεσάμενος ἕνα τῶν παίδων, ἐπυνθάνετο τί ἂν εἴη ταῦτα. 27. Ὁ δὲ εἶπεν αὐτῷ, ὅτι ὁ ἀδελφός σου ἥκει· καὶ ἔθυσεν ὁ πατήρ σου τὸν μόσχον τὸν σιτευτόν, ὅτι ὑγιαίνοντα αὐτὸν ἀπέλαβεν. 28. Ὠργίσθη δὲ καὶ οὐκ ἤθελεν εἰσελθεῖν. Ὁ οὖν πατὴρ αὐτοῦ ἐξελθὼν παρεκάλει αὐτόν. 29. Ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ πατρί· Ἰδού, τοσαῦτα ἔτη δουλεύω σοι καὶ οὐδέποτε ἐντολήν σου παρῆλθον, καὶ ἐμοὶ οὐδέποτε ἔδωκας ἔριφον, ἵνα μετὰ τῶν φίλων μου εὐφρανθῶ. 30. Ὅτε δὲ ὁ υἱός σου οὗτος ὁ καταφαγών σου τὸν βίον μετὰ πορνῶν ἦλθεν, ἔθυσας αὐτῷ τὸν μόσχον τὸν σιτευτόν. 31. Ὁ δὲ εἶπεν αὐτῷ· Τέκνον, σὺ πάντοτε μετ' ἐμοῦ εἶ, καὶ πάντα τὰ ἐμὰ σά ἐστιν· 32. Εὐφρανθῆναι δὲ καὶ χαρῆναι ἔδει, ὅτι ὁ ἀδελφός σου οὗτος νεκρὸς ἦν, καὶ ἀνέζησεν· καὶ ἀπολωλὼς καὶ εὑρέθη.

Новозаветная притча о блудном сыне (Лука,XV) послужила сюжетной основой как для древнерусских фресок, так и для западноевропейской живописи (Рембрандта, Сальватора Розы, Метсю и др.). О диалекте койне, на котором написана новозаветная литература, см. Приложение на стр. 220 – 222. Датировка Нового завета, его историко-литературные истоки, социальные и философские идеи рассматриваются в книге А. Ч. Козаржевского «Источниковедческие проблемы раннехристианской литературы». Издательство Московского университета, 1985.

1. αὐτῷ т. е. τῷ Ἰησοῦ. 7. χαρὰ ἔσται ἢ подразум. μᾶλλον. 14. λιμός в диалекте койне жен. рода. 15. ἔπεμψεν пропущено подлежащее. 16. κεράτιον ceratonia siliqua. 20. ἦλθεν значение не строго аористное: «пошел» (а не «пришел»).

XXII,4. Ἐς δὲ τὴν ἀκρόπολίν ἐστιν ἔσοδος μία· ἑτέραν δὲ οὐ παρέχεται, πᾶσα ἀπότομος οὖσα καὶ τεῖχος ἔχουσα ἐχυρόν. Τὰ δὲ προπύλαια λίθου λευκοῦ τὴν ὀροφὴν ἔχει καὶ κόσμῳ καὶ μεγέθει τῶν λίθων μέχρι γε καὶ ἐμοῦ προεῖχε. Τὰς μὲν οὖν εἰκόνας τῶν ἱππέων οὐκ ἔχω σαφῶς εἰπεῖν, εἴτε οἱ παῖδές εἰσιν οἱ Ξενοφῶντος εἴτε ἄλλως [ἐς] εὐπρέπειαν πεποιημέναι· τῶν δὲ προπυλαίων ἐν δεξιᾷ Νίκης ἐστὶν Ἀπτέρου ναός. Ἐντεῦθεν ἡ θάλασσά ἐστι σύνοπτος, καὶ ταύτῃ ῥίψας Αἰγεὺς ἑαυτόν, ὡς λέγουσιν ἐτελεύτησεν. 5. Ἀνήγετο μὲν γὰρ ἡ ναῦς μέλασιν ἱστίοις ἡ τοὺς παῖδας φέρουσα ἐς Κρήτην, Θησεὺς δὲ – ἔπλει γὰρ τόλμης τι ἔχων ἐς τὸν Μίνω καλούμενον ταῦρον – πρὸς τὸν πατέρα προεῖπε χρήσεσθαι τοῖς ἱστίοις λευκοῖς, ἢν ὀπίσω πλέῃ τοῦ ταύρου κρατήσας· τούτων λήθην ἔσχεν Ἀριάδνην ἀφῃρημένος· ἐνταῦθα Αἰγεὺς ὡς εἶδεν ἱστίοις μέλασι τὴν ναῦν κομιζομένην, οἷα τὸν παῖδα τεθνάναι δοκῶν, ἀφεὶς αὐτὸν διαφθείρεται· καί οἱ παρὰ Ἀθηναίοις ἐστὶ καλούμενον ἡρῷον Αἰγέως.

6. Ἔστι δὲ ἐν ἀριστερᾷ τῶν προπυλαίων οἴκημα ἔχον γραφάς· ὁπόσαις δὲ μὴ καθέστηκεν ὁ χρόνος αἴτιος ἀφανέσιν εἶναι, Διομήδης ἦν [καὶ Ὀδυσσεύς], ὁ μὲν ἐν Λήμνῳ τὸ Φιλοκτήτου τόξον, ὁ δὲ τὴν Ἀθηνᾶν ἀφαιρούμενος ἐξ Ἰλίου. Ἐνταῦθα [ἐν ταῖς γραφαῖς] Ὀρέστης ἐστὶν Αἴγισθον φονεύων καὶ Πυλάδης τοὺς παῖδας τοὺς Ναυπλίου βοηθοὺς ἐλθόντας Αἰγίσθῳ· τοῦ δὲ Ἀχιλλέως τάφου πλησίον μέλλουσά ἐστι σφάζεσθαι Πολυξένη. Ὁμήρῳ δὲ εὖ μὲν παρείθη τόδε τὸ ὠμὸν οὕτως ἔργον· εὖ δέ μοι φαίνεται ποιῆσαι Σκῦρον ὑπὸ Ἀχιλλέως ἁλοῦσαν, οὐδὲν ὁμοίως καὶ ὅσοι λέγουσιν ὁμοῦ ταῖς παρθένοις Ἀχιλλέα ἔχειν ἐν Σκύρῳ δίαιταν, ἃ δὴ καὶ Πολύγνωτος ἔγραψεν. Ἔγραψε δὲ καὶ πρὸς τῷ ποταμῷ ταῖς ὁμοῦ Ναυσικᾷ πλυνούσαις ἐφιστάμενον Ὀδυσσέα κατὰ τὰ αὐτὰ καθὰ δὴ καὶ Ὅμηρος ἐποίησε. γραφαὶ δέ εἰσι καὶ ἄλλαι καὶ Ἀλκιβιάδης, ἵππων δέ οἱ νίκης τῆς ἐν Νεμέᾳ ἐστὶ σημεῖα ἐν τῇ γραφῇ. Καὶ Περσεύς ἐστιν ἐς Σέριφον κομιζόμενος, Πολυδέκτῃ φέρων τὴν κεφαλὴν τὴν Μεδούσης.

XXIV,5. Ἐς δὲ τὸν ναὸν ὃν Παρθενῶνα ὀνομάζουσιν, ἐς τοῦτον ἐσιοῦσιν, ὁπόσα ἐν τοῖς καλουμένοις ἀετοῖς κεῖται, πάντα ἐς τὴν Ἀθηνᾶς ἔχει γένεσιν, τὰ δὲ ὄπισθεν ἡ Ποσειδῶνος πρὸς Ἀθηνᾶν ἐστιν ἔρις ὑπὲρ τῆς γῆς· αὐτὸ δὲ ἔκ τε ἐλέφαντος τὸ ἄγαλμα καὶ χρυσοῦ πεποίηται. Μέσῳ μὲν οὖν ἐπίκειταί οἱ τῷ κράνει Σφιγγὸς εἰκών – ἃ δὲ

ἐς τὴν Σφίγγα λέγεται, γράψω προελθόντος ἐς τὰ Βοιώτιά μοι τοῦ λόγου, καθ' ἑκάτερον δὲ τοῦ κράνους γρῦπές εἰσιν ἐπειργασμένοι. Τούτους τοὺς γρῦπας ἐν τοῖς ἔπεσιν Ἀριστέας ὁ Προκοννήσιος μάχεσθαι περὶ τοῦ χρυσοῦ φησιν Ἀριμασποῖς [τοῖς] ὑπὲρ Ἰσσηδόνων· τὸν δὲ χρυσόν, ὃν φυλάσσουσιν οἱ γρῦπες, ἀνιέναι τὴν γῆν· εἶναι δὲ Ἀριμασποὺς μὲν ἄνδρας μονοφθάλμους πάντας ἐκ γενετῆς, γρῦπας δὲ θηρία λέουσιν εἰκασμένα, πτερὰ δὲ ἔχειν καὶ στόμα ἀετοῦ. 7. Καὶ γρυπῶν μὲν πέρι τοσαῦτα εἰρήσθω· τὸ δὲ ἄγαλμα τῆς Ἀθηνᾶς ὀρθόν ἐστιν ἐν χιτῶνι ποδήρει καί οἱ κατὰ τὸ στέρνον ἡ κεφαλὴ Μεδούσης ἐλέφαντός ἐστιν ἐμπεποιημένη· καὶ Νίκην τε ὅσον τεσσάρων πηχῶν, ἐν δὲ τῇ χειρὶ δόρυ ἔχει, καί οἱ πρὸς τοῖς ποσὶν ἀσπίς τε κεῖται καὶ πλησίον τοῦ δόρατος δράκων ἐστίν· εἴη δ' ἂν Ἐριχθόνιος οὗτος ὁ δράκων. Ἔστι δὲ τῷ βάθρῳ τοῦ ἀγάλματος ἐπειργασμένη Πανδώρας γένεσις. Πεποίηται δὲ Ἡσιόδῳ τε καὶ ἄλλοις ὡς ἡ Πανδώρα γένοιτο αὕτη γυνὴ πρώτη· πρὶν δὲ ἢ γενέσθαι Πανδώραν οὐκ ἦν πω γυναικῶν γένος. ἐνταῦθα εἰκόνα ἰδὼν οἶδα Ἀδριανοῦ βασιλέως μόνου, καὶ κατὰ τὴν ἔσοδον Ἰφικράτους ἀποδειξαμένου πολλά τε καὶ θαυμαστὰ ἔργα.

XXVI,5. Ἔστι δὲ καὶ οἴκημα Ἐρέχθειον καλούμενον· πρὸ δὲ τῆς ἐσόδου Διός ἐστι βωμὸς Ὑπάτου, ἔνθα ἔμψυχον θύουσιν οὐδέν, πέμματα δὲ θέντες οὐδὲν ἔτι οἴνῳ χρήσασθαι νομίζουσιν. Ἐσελθοῦσι δέ εἰσι βωμοί, Ποσειδῶνος, ἐφ' οὗ καὶ Ἐρεχθεῖ θύουσιν ἔκ του μαντεύματος, καὶ ἥρωος Βούτου, τρίτος δὲ Ἡφαίστου· γραφαὶ δὲ ἐπὶ τῶν τοίχων τοῦ γένους εἰσὶ τοῦ Βουταδῶν καὶ – διπλοῦν γάρ ἐστι τὸ οἴκημα – [καὶ] ὕδωρ ἐστὶν ἔνδον θαλάσσιον ἐν φρέατι. Τοῦτο μὲν θαῦμα οὐ μέγα· καὶ γὰρ ὅσοι μεσόγαιαν οἰκοῦσιν, ἄλλοις τε ἔστι καὶ Καρσὶν Ἀφροδισιεῦσιν· ἀλλὰ τόδε τὸ φρέαρ ἐς συγγραφὴν παρέχεται κυμάτων ἦχον ἐπὶ νότῳ πνεύσαντι. Καὶ τριαίνης ἐστὶν ἐν τῇ πέτρᾳ σχῆμα· ταῦτα δὲ λέγεται Ποσειδῶνι μαρτύρια ἐς τὴν ἀμφισβήτησιν τῆς χώρας φανῆναι.

XXVIII,2. Χωρὶς δὲ ἢ ὅσα κατέλεξα δύο μὲν Ἀθηναίοις εἰσὶ δεκάται πολεμήσασιν, ἄγαλμα Ἀθηνᾶς χαλκοῦν ἀπὸ Μήδων τῶν ἐς Μαραθῶνα ἀποβάντων τέχνη Φειδίου – καί οἱ τὴν ἐπὶ τῆς ἀσπίδος [μάχην] Λαπιθῶν πρὸς Κενταύρους καὶ ὅσα ἄλλα ἐστὶν ἐπειργασμένα λέγουσι τορεῦσαι Μῦν, τῷ δὲ Μυῒ ταῦτά τε καὶ τὰ λοιπὰ τῶν ἔργων Παῤῥάσιον καταγράψαι τὸν Εὐήνορος· ταύτης τῆς Ἀθηνᾶς ἡ τοῦ δόρατος αἰχμὴ καὶ ὁ λόφος τοῦ κράνους ἀπὸ Σουνίου προσπλέουσίν ἐστιν ἤδη

σύνοπτα, – καὶ ἅρμα κεῖται χαλκοῦν ἀπὸ Βοιωτῶν δεκάτη καὶ Χαλκιδέων τῶν ἐν Εὐβοίᾳ. Δύο δὲ ἄλλα ἐστὶν ἀναθήματα, Περικλῆς ὁ Ξανθίππου καὶ τῶν ἔργων τῶν Φειδίου θέας μάλιστα ἄξιον Ἀθηνᾶς ἄγαλμα ἀπὸ τῶν ἀναθέντων καλουμένης Λημνίας.

XXVIII,4. Καταβᾶσι δὲ οὐκ ἐς τὴν κάτω πόλιν ἀλλ' ὅσον ὑπὸ τὰ προπύλαια πηγή τε ὕδατός ἐστι καὶ πλησίον Ἀπόλλωνος ἱερὸν ἐν σπηλαίῳ... **5.** Ἔστι δὲ Ἄρειος πάγος καλούμενος, ὅτι πρῶτος Ἄρης ἐνταῦθα ἐκρίθη, καί μοι καὶ ταῦτα δεδήλωκεν ὁ λόγος ὡς Ἁλιρρόθιον ἀνέλοι καὶ ἐφ' ὅτῳ κτείνειε· κριθῆναι δὲ καὶ ὕστερον Ὀρέστην λέγουσιν ἐπὶ τῷ φόνῳ τῆς μητρός· καὶ βωμός ἐστιν Ἀθηνᾶς Ἀρείας, ὃν ἀνέθηκεν ἀποφυγὼν τὴν δίκην. Τοὺς δὲ ἀργοὺς λίθους, ἐφ' ὧν ἑστᾶσιν ὅσοι δίκας ὑπέχουσι καὶ οἱ διώκοντες, τὸν μὲν Ὕβρεως τὸν δὲ Ἀναιδείας αὐτῶν ὀνομάζουσι.

Павсаний родом из Малой Азии, жил во II в. н.э. при Адриане и Антонинах, автор «Описания Эллады» в 10 книгах, ценного источника по географии, этнографии, археологии, истории искусства, мифологии Греции. Охвачены материковые области, прославившиеся в классическую эпоху. Как сочинения других антикваров римского периода, повествование Павсания о местностях и их достопримечательностях отличается эклектичностью и пестротой. Особый интерес представляет описание афинского акрополя в I книге (главы XXII, XXIV, XXVI, XXVIII). См. Соколов Г. И. Акрополь в Афинах. М., 1968.

XXII,4. τὰ προπύλαια Пропилеи созданы зодчим Мнесиклом в 430-е гг. на месте Пропилей времен Писистрата. τὰς εἰκόνας τῶν ἱππέων вероятно, не сыновья Ксенофонта, а сам Ксенофонт и сын Кимона Лакедемон, причастные к завоеванию Эвбеи. Νίκης Ἀπτέρου изящный ионийского стиля храм «Бескрылой Ники» на башне (пиргосе) на юго-западе акрополя.

5. ἡρῷον Αἰγέως местонахождение его неизвестно.

6. οἴκημα ἔχον γραφάς картинная галерея-пинакотека, пристроенная к Пропилеям с северной стороны. Сюжеты картин пинакотеки встречаются и в вазовой живописи. Σκῦρον о взятии Скироса Ахиллом см. Гомер. «Илиада», IX,668. Филострат в трактате «Картины» сообщает о картине «Ахилл на острове Скиросе».

Ἀλκιβιάδης о портрете Алкивиада говорит Плутарх в «Алкивиаде» (XVI) и Афиней в «Пирующих софистах» (XII,534).

XXIV,5. Παρθενῶνα храм построен Иктином в 438 г. до н.э. Статуя Афины-Девы, выполненная в хрисоэлефантинной технике, не сохранилась. В Афинском музее находится ее небольшая мраморная копия, известная под названием «Афина Варварикон».

XXVI,5. Ἐρέχθειον восточная часть храма посвящена Афине, западная – Посейдону и Эрехтею. Эрехтейон знаменит своим портиком кариатид. διπλοῦν вряд ли можно истолковать это слово как «двухэтажный».

XXVIII,2. ἄγαλμα Ἀθηνᾶς χαλκοῦν имеется в виду фидиева статуя Афины Промахос («Воительницы»). ἅρμα четверка коней, управляемых Никой. Статуе посвящено четверостишие Симонида.

XXVIII,5. Ἄρειος πάγος на Ареопаге с проповедью к афинянам обратился апостол Павел.

Ἀρριανοῦ Ἀναβάσεως Ἀλεξάνδρου

βιβλίον πέμπτον

XV,3. ...Πῶρος **4.** εἵλετο οὖν ἐπ᾽ αὐτὸν Ἀλέξανδρον ἐλάσας ξὺν τῇ στρατιᾷ πάσῃ πρὸς τὸ καρτερώτατόν τε τῶν Μακεδόνων καὶ αὐτὸν τὸν βασιλέα διαγωνίσασθαι.

XVII,1. Ἐν τούτῳ δὲ οἵ τε Ἰνδοὶ τοὺς ἱππέας πάντοθεν ξυναλίσαντες παρίππευον Ἀλεξάνδρῳ ἀντιπαρεξάγοντες τῇ ἐλάσει, καὶ οἱ περὶ Κοῖνον, ὡς παρήγγελτο, κατόπιν αὐτοῖς ἐπεφαίνοντο. Ταῦτα ξυνιδόντες οἱ Ἰνδοὶ ἀμφίστομον ἠναγκάσθησαν ποιῆσαι τὴν τάξιν τῆς ἵππου, τὴν μὲν ὡς ἐπ᾽ Ἀλέξανδρον τὴν πολλήν τε καὶ κρατίστην· οἱ δὲ ἐπὶ Κοῖνόν τε καὶ τοὺς ἅμα τούτῳ ἐπέστρεφον. **2.** Τοῦτό τε οὖν εὐθὺς ἐτάραξε τὰς τάξεις τε καὶ τὰς γνώμας τῶν Ἰνδῶν καὶ Ἀλέξανδρος ἰδὼν τὸν καιρὸν ἐν αὐτῇ τῇ ἐπὶ θάτερα ἐπιστροφῇ τῆς ἵππου ἐπιτίθεται τοῖς καθ᾽ αὐτόν, ὥστε οὐδὲ τὴν ἐμβολὴν ἐδέξαντο τῶν ἀμφ᾽ Ἀλέξανδρον ἱππέων οἱ Ἰνδοί, ἀλλὰ κατηράχθησαν ὥσπερ εἰς τεῖχός τι φίλιον τοὺς ἐλέφαντας. **3.** Καὶ ἐν τούτῳ οἱ ἐπιστάται τῶν ἐλεφάντων ἀντεπῆγον τῇ ἵππῳ τὰ θηρία, καὶ ἡ φάλαγξ αὐτὴ τῶν Μακεδόνων ἀντεπῄει πρὸς τοὺς ἐλέφαντας, ἔς τε τοὺς ἐπιβάτας αὐτῶν ἀκοντίζοντες καὶ αὐτὰ τὰ θηρία περισταδὸν πάντοθεν βάλλοντες. καὶ ἦν τὸ ἔργον οὐδενὶ τῶν πρόσθεν ἀγώνων

ἐοικός· τά τε γὰρ θηρία ἐπεκθέοντα ἐς τὰς τάξεις τῶν πεζῶν, ὅπῃ ἐπιστρέψειεν, ἐκεράϊζε, καίπερ πυκνὴν οὖσαν τὴν τῶν Μακεδόνων φάλαγγα, καὶ οἱ ἱππεῖς οἱ τῶν Ἰνδῶν, τοῖς πεζοῖς ἰδόντες ξυνεστηκὸς τὸ ἔργον, ἐπιστρέψαντες αὖθις καὶ αὐτοὶ ἐπήλαυνον τῇ ἵππῳ. 4. Ὡς δὲ πάλιν ἐκράτησαν αὐτῶν οἱ ἀμφ' Ἀλέξανδρον, τῇ τε ῥώμῃ καὶ τῇ ἐμπειρίᾳ πολὺ προέχοντες, ὡς ἐπὶ τοὺς ἐλέφαντας αὖθις κατειλήθησαν. καὶ ἐν τούτῳ πᾶσα ἡ ἵππος Ἀλεξάνδρῳ ἐς μίαν ἴλην ἤδη ξυνηγμένη, οὐκ ἐκ παραγγέλματος, ἀλλὰ ἐν τῷ ἀγῶνι αὐτῷ ἐς τήνδε τὴν τάξιν καταστᾶσα, ὅπῃ προσπέσοι τῶν Ἰνδῶν ταῖς τάξεσι, ξὺν πολλῷ φόνῳ ἀπελύοντο. 5. Καὶ ἐς στενὸν ἤδη κατειλημένων τῶν θηρίων οὐ μείω πρὸς αὐτῶν οἱ φίλιοι ἤπερ οἱ πολέμιοι ἐβλάπτοντο, ἐν ταῖς ἐπιστροφαῖς τε καὶ τοῖς ὠθισμοῖς καταπατούμενοι. τῶν τε οὖν ἱππέων, οἷα δὴ ἐν στενῷ περὶ τοὺς ἐλέφαντας εἰλουμένων, πολὺς φόνος ἐγίγνετο καὶ οἱ ἡγεμόνες τῶν ἐλεφάντων οἱ πολλοὶ κατηκοντισμένοι ἦσαν, καὶ αὐτοὶ οἱ ἐλέφαντες τὰ μὲν τιτρωσκόμενοι, τὰ δὲ ὑπό τε τῶν πόνων καὶ ἐρημίᾳ ἡγεμόνων οὐκέτι διακεκριμένοι ἐν τῇ μάχῃ ἦσαν· 6. Ἀλλ' οἷα δὴ ὑπὸ τοῦ κακοῦ ἔκφρονες φιλίοις τε ὁμοῦ καὶ πολεμίοις προσφερόμενοι πάντα τρόπον ἐξώθουν τε καὶ κατεπάτουν καὶ κατέκαινον. ἀλλ' οἱ μὲν Μακεδόνες, ἅτε ἐν εὐρυχωρίᾳ τε καὶ κατὰ γνώμην τὴν σφῶν προσφερόμενοι τοῖς θηρίοις, ὅπῃ μὲν ἐπιφέροιντο εἶκον, ἀποστραφέντων δὲ εἴχοντο ἐσακοντίζοντες· οἱ δὲ Ἰνδοὶ ἐν αὐτοῖς ἀναστρεφόμενοι τὰ πλείω ἤδη πρὸς ἐκείνων ἐβλάπτοντο. 7. Ὡς δὲ καματηρά τε ἦν τὰ θηρία καὶ οὐκέτι αὐτοῖς ἐρρωμέναι αἱ ἐκδρομαὶ ἐγίγνοντο, ἀλλὰ συριγμῷ μόνον διαχρώμενα ὥσπερ αἱ πρύμναν κρουόμεναι νῆες ἐπὶ πόδα ὑπεχώρουν, αὐτὸς μὲν Ἀλέξανδρος περιβάλλει ἐν κύκλῳ τὴν ἵππον τῇ πάσῃ τάξει, τοὺς πεζοὺς δὲ ξυνασπίσαντας ὡς ἐς πυκνοτάτην ξύγκλεισιν ἐπάγειν τὴν φάλαγγα ἐσήμηνε. καὶ οὕτως οἱ μὲν ἱππεῖς τῶν Ἰνδῶν πλὴν ὀλίγων κατεκόπησαν ἐν τῷ ἔργῳ· ἐκόπτοντο δὲ καὶ οἱ πεζοὶ πανταχόθεν ἤδη προσκειμένων σφίσι τῶν Μακεδόνων. καὶ ἐν τούτῳ ἵνα διέσχεν ἡ ἵππος ἡ Ἀλεξάνδρου ἐς φυγὴν πάντες ἐπεστράφησαν.

Флавий Арриан (ок. 95 – 175 гг.) – ученик философа Эпиктета, крупный императорский чиновник, автор сочинений исторических, географо-этнографических, философских, военных. В «Походе Александра», созданном под влиянием «Анабасиса» Ксенофонта, содержатся сведения о древней

Индии, в частности описание битвы Александра с индийским царем Пором в 326 г. до н.э. (V,15,17)

V,15,4 Πῶρος – могущественный царь западной Индии (между Гидаспом и Акезином).

17,1. οἱ περὶ Κοῖνον конница под командованием Кена.

2. τὰς γνώμας здесь «намерения». τοῖς καθ' αὐτόν на стоящих против него (Александра), т.е. на центр войска Пора.

4. ὡς ἐκράτησαν... ὡς κατειλήθησαν когда ... тогда.

5. ἐβλάπτοντο страдательный залог. οὐκέτι διακεκριμένοι без управления, беспорядочно.

6. κατὰ γνώμην «по усмотрению». ἐν αὐτοῖς т.е. между слонами.

7. ἐπὶ πόδα лицом к противнику, пятясь. ἵνα обозначает место.

Λόγος κατηχητικὸς

Ἰωάννου τοῦ Χρυσοστόμου

Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Κυριακῇ τοῦ Πάσχα

Εἴ τις εὐσεβὴς καὶ φιλόθεος, ἀπολαυέτω τῆς καλῆς καὶ φαιδρᾶς πανηγύρεως. Εἴ τις δοῦλος εὐγνώμων, εἰσελθέτω χαίρων εἰς τὴν χαρὰν τοῦ Κυρίου αὐτοῦ. Εἴ τις ἔκαμε νηστεύων, ἀπολαβέτω νῦν τὸ δηνάριον. Εἴ τις ἀπὸ τῆς πρώτης ὥρας εἰργάσατο, δεχέσθω σήμερον τὸ δίκαιον ὄφλημα. Εἴ τις μετὰ τὴν τρίτην ἦλθεν, εὐχαρίστως ἑορτασάτω. Εἴ τις μετὰ τὴν ἕκτην ἔφθασε, μηδὲν ἀμφιβαλλέτω· καὶ γὰρ οὐδὲν ζημιοῦται. Εἴ τις ὑστέρησεν εἰς τὴν ἐνάτην, προσελθέτω, μηδὲν ἐνδοιάζων. Εἴ τις εἰς μόνην ἔφθασε τὴν ἑνδεκάτην, μὴ φοβηθῇ τὴν βραδυτῆτα· φιλότιμος γὰρ ὢν ὁ Δεσπότης, δέχεται τὸν ἔσχατον, καθάπερ καὶ τὸν πρῶτον· ἀναπαύει τὸν τῆς ἑνδεκάτης, ὡς τὸν ἐργασάμενον ἀπὸ τῆς πρώτης· καὶ τὸν ὕστερον ἐλεεῖ, καὶ τὸν πρῶτον θεραπεύει· κἀκείνῳ δίδωσι, καὶ τούτῳ χαρίζεται· Καὶ τὴν πρᾶξιν τιμᾷ, καὶ τὴν πρόθεσιν ἐπαινεῖ.

Οὐκοῦν εἰσέλθητε πάντες εἰς τὴν χαρὰν τοῦ Κυρίου ἡμῶν, καὶ πρῶτοι καὶ δεύτεροι τὸν μισθὸν ἀπολάβετε. Πλούσιοι καὶ πένητες μετ' ἀλλήλων χορεύσατε, ἐγκρατεῖς καὶ ῥάθυμοι τὴν ἡμέραν τιμήσατε, νηστεύσαντες καὶ μὴ νηστεύσαντες εὐφράνθητε σήμερον. Ἡ τράπεζα γέμει, τρυφήσατε πάντες. Ὁ μόσχος πολύς, μηδεὶς ἐξέλθοι πεινῶν. Πάντες ἀπολαύσατε τοῦ πλούτου τῆς χρηστότητος.

Μηδεὶς θρηνήτω πενίαν· ἐφάνη γὰρ ἡ κοινὴ βασιλεία. Μηδεὶς ὀδυρέσθω πταίσματα· συγγνώμη γὰρ ἐκ τοῦ τάφου ἀνέτειλε. Μηδεὶς φοβείσθω τὸν θάνατον· ἠλευθέρωσε γὰρ ἡμᾶς ὁ τοῦ Σωτῆρος θάνατος. Ἔσβεσεν αὐτὸν ὑπ' αὐτοῦ κατεχόμενος. Ἐσκύλευσε τὸν ᾅδην, ὁ κατελθὼν εἰς τὸν ᾅδην. Ἐπίκρανεν αὐτὸν, γευσάμενον τῆς σαρκὸς αὐτοῦ. Καὶ τοῦτο προλαβὼν Ἡσαΐας ἐβόησεν· Ὁ ᾅδης, φησὶν, ἐπικράνθη, συναντήσας σοι κάτω.

Ἐπικράνθη, καὶ γὰρ καθηργήθη. Ἐπικράνθη, καὶ γὰρ ἐνεπαίχθη. Ἐπικράνθη, καὶ γὰρ ἐνεκρώθη. Ἐπικράνθη, καὶ γὰρ καθῃρέθη. Ἐπικράνθη, καὶ γὰρ ἐδεσμεύθη. Ἔλαβε σῶμα, καὶ Θεῷ περιέτυχεν. Ἔλαβε γῆν, καὶ συνήστησεν οὐρανῷ. Ἔλαβε ὅπερ ἔβλεπε, καὶ πέπτωκεν ὅθεν οὐκ ἔβλεπε. Ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, ᾅδη, τὸ νῖκος; Ἀνέστη Χριστὸς, καὶ σὺ καταβέβλησαι. Ἀνέστη Χριστὸς, καὶ πεπτώκασι δαίμονες. Ἀνέστη Χριστὸς, καὶ χαίρουσιν ἄγγελοι. Ἀνέστη Χριστὸς, καὶ ζωὴ πολιτεύεται. Ἀνέστη Χριστὸς, καὶ νεκρὸς οὐδεὶς ἐπὶ μνήματος. Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Иоанн Хризостом, т.е. Златоуст (ок. 344/354 – 407 гг.) – крупнейший ранневизантийский писатель, принадлежавший к восточным отцам церкви. Уроженец Антиохии, ученик ритора Ливания, с 398 г. патриарх Константинопольский; из-за вражды императорского двора и части духовенства низложен и сослан в Армению, а затем в Пицунду, на пути к которой умер в местечке Команы. Создатель литургии, многих молитв; автор толковательных бесед на библейские темы, злободневных обличительных проповедей-гомилий, обширной переписки периода ссылки. «Огласительное слово в святой и великий день Пасхи Господней» – образец приложения приемов античной риторики к новому христианскому содержанию. В древней Руси по образцу греческих антологий Иоанна Златоуста создавались нравоучительные сборники «Златоусты», «Златоструи», «Измарагды».

Εἴ τις..., καὶ..., ἐπικράνθη..., ἔλαβε..., ποῦ..., ἀνέστη Χριστός... многократное единоначатие – типичный прием античной риторики. χαίρων... χαράν игра однокоренными словами. τὸ δηνάριον в широком смысле награды. ἀπὸ τῆς πρώτης ὥρας, τὴν

τρίτην..., τὴν ἕκτην..., τὴν ἐνάτην ὥραν древнее деление дневной части суток (совр. от 6 до 18 часов) на 1-й, 3-й, 6-й и 9-й часы. τὴν ἑνδεκάτην имеется в виду исход 9-го часа. σῶμα... Θεῷ, γῆν...οὐρανῷ, ἔβλεπε...οὐκ ἔβλεπε антитезы. ποῦ σου, θάνατε, τὸ κέντρον... из пророка Осии. τὸ νῖκος (= ἡ νική) характерное для позднегреческого языка взаимопроникновение форм разных склонений. πολιτεύεται в значении «вступает в права, господствует». αὐτῷ ἡ δόξα... обычное доксологическое заключение молитв, а часто и проповедей. Ἀμήν «подлинно», «истинно» еврейский возглас, перешедший к христианам из синагогальной практики.

Βίος τοῦ Γεωργίου τοῦ ἀρχιεπισκόπου Ἀμάστριδος

43.A. Τὰ δὲ ἑξῆς ὡς λίαν παράδοξα. Ἔφοδος ἦν βαρβάρων τῶν Ῥῶς, ἔθνους, ὡς πάντες ἴσασιν, ὠμοτάτου καὶ ἀπηνοῦς καὶ μηδὲν ἐπιφερομένου φιλανθρωπίας λείψανον· θηριώδεις τοῖς τρόποις, ἀπάνθρωποι τοῖς ἔργοις, αὐτῇ τῇ ὄψει τὴν μιαφονίαν ἐπιδεικνύμενοι, ἐπ᾽ οὐδενὸς τῶν ἄλλων, ὧν πεφύκασιν ἄνθρωποι, χαίροντες ὡς ἐπὶ φονοκτονίᾳ. **B.** Τοῦτο δὴ φθοροποιὸν καὶ πρᾶγμα καὶ ὄνομα ἀπὸ τῆς Προποντίδος ἀρξάμενον τῆς λίμνης καὶ τὴν ἄλλην ἐπινεμηθὲν παράλιον, ἔφθασε καὶ μέχρι τῆς τοῦ ἁγίου πατρίδος, κόπτον ἀφειδῶς γένος ἅπαν καὶ ἡλικίαν πᾶσαν, οὐ πρεσβύτας οἰκτεῖρον, οὐ νήπια παρορῶν, ἀλλὰ κατὰ πάντων ὁμοῦ τὴν μιαφόνον ὁπλίζον χεῖρα τὸν ὄλεθρον ἔσπευδε διαβῆναι ὅση δύναμις. **C.** Ναοὶ καταστρεφόμενοι, ἅγια βεβηλουμένα, βωμοὶ κατὰ τρόπον ἐκείνων, σπονδαὶ παράνομοι καὶ θυσίαι, ἡ Ταυρικὴ ξενοκτονία ἐκείνη ἡ παλαιὰ παρ᾽ αὐτοῖς νεάζουσα, παρθένων σφαγαὶ ἀῤῥένων τε καὶ θηλείων· ὁ βοηθῶν οὐδείς, ὁ ἀντιπαρατατιόμενος οὐκ ἦν· λειμῶνες καὶ κρῆναι καὶ δένδρα σεβαζόμενα· ἡ ἄνωθεν παραχωροῦσα πρόνοια ἴσως διὰ τὸ τὴν κακίαν πληθυνθῆναι, οἷα πολλὰ πεπονθέναι τὸν Ἰσραὴλ παρὰ τῆς Γραφῆς μεμαθήκαμεν.

«Житие Георгия Амастридского» составлено, вероятно, диаконом Игнатием до 842 г. Георгий в конце VIII – начале IX века был архиепископом византийского города Амастриды (к западу от Синопа). Глава 43-я данного «Жития» повествует о раннем этапе русско-византийских отношений, а именно о набеге русских на Византию.

43.A ὡς λίαν ὡς усилительная частица. τοῖς τρόποις и τοῖς ἔργοις dativus limitationis (§ 95). ὧν πεφύκασιν ἄνθρωποι по природе присущее людям.

B. καὶ πρᾶγμα καὶ ὄνομα accusativus limitationis. τῆς τοῦ ἁγίου πατρίδος т. е. Ἀμαστρίδος. γένος ἅπαν имеется в виду мужской и женский пол. διαβῆναι в переходном значении. ὅση δύναμις подразум. ἦν.

C. ἡ Ταυρικὴ ξενοκτονία автор «Жития» отождествляет русских с так называемыми «тавроскифами». τὸν Ἰσραήλ Израиль. τῆς Γραφῆς Писание, в данном случае Ветхий завет. Различные версии этимологии слова Ῥῶς рассматриваются в комментариях к сочинению Константина Багрянородного «Об управлении империей» (М., 1989, с. 293 – 307).

Γεωργίου τοῦ Κεδρηνοῦ

Σύνοψις ἱστοριῶν

II,173. Τὰ δὲ ἐντὸς Εὐξείνου καὶ πᾶσαν τὴν αὐτοῦ παραλίαν ὁ τῶν Ῥῶς ἐπόρθει καὶ κατέτρεχε στόλος (ἔθνος δὲ οἱ Ῥῶς Σκυθικόν, περὶ τὸν ἀρκτῷον Ταῦρον κατῳκημένον, ἀνήμερόν τε καὶ ἄγριον), καὶ αὐτῇ δὲ τῇ βασιλίδι δεινὸν ἐπέσειε κίνδυνον· οἳ μετ' οὐ πολὺ τῆς θείας πειραθέντες ὀργῆς οἴκαδε ὑπενόστησαν, πρεσβεία τε αὐτῶν τὴν βασιλίδα καταλαμβάνει, τοῦ θείου μεταλαχεῖν βαπτίσματος λιτανεύουσα, ὃ καὶ γέγονε.

II,242. Καὶ τοῖς Ῥῶς δὲ συμβάσεις θέμενος ἐν μετοχῇ γενέσθαι τοῦ σωτηρίου βαπτίσματος αἴτιος γέγονε, πεμφθέντος αὐτοῖς καὶ ἀρχιερέως.

II,316. δεκάτῃ δὲ καὶ τετάρτῃ ἰνδικτιῶνι, Ἰουνίῳ μηνί, ἐπέλευσις κατὰ τῆς πόλεως ἐγένετο Ῥωσικοῦ στόλου πλοίων χιλιάδων δέκα. Ἐξῆλθεν οὖν κατ' αὐτῶν ὁ πατρίκιος καὶ πρωτοβεστιάριος Θεοφάνης μετὰ τοῦ στόλου, κἀν τῷ Ἱερῷ προσορμίσατο, ἐκείνων ἐν τῷ Φάρῳ καὶ ἐν τῷ ἐπέκεινα αἰγιαλῷ ναυλοχούντων. Καιροσκοπήσας οὖν ἀθρόον τούτοις ἐπέθετο, καὶ τήν τε σύνταξιν αὐτῶν διέλυσε καὶ πολλὰ τῶν πλοίων τῷ σκευαστῷ πυρὶ ἀπετέφρωσε, τὰ δὲ τελέως ἐτρέψατο. Οἱ περιλειφθέντες δὲ τῶν Ῥῶς περαιοῦνται εἰς τὴν ἀνατολὴν καὶ κατὰ τὰ λεγόμενα Σγόρα προσίσχουσι. Βάρδας δὲ πατρίκιος, ὁ τοῦ Φωκᾶ

υἱός, τοὺς αἰγιαλοὺς παρατρέχων μεθ' ἱππέων καὶ ἐκκρίτων ἀνδρων, συντάγματι τούτων ἱκανῷ πρὸς συλλογὴν ἐκπεμφθέντι τροφῆς συναντήσας ἐτρέψατο καὶ κατέσφαξεν. Ἀλλὰ μὴν καὶ ὁ δομέστικος τῶν σχολῶν ὁ Κουρκούας, ὀξὺς ἐπιφανεὶς μετὰ τῶν ταγμάτων, και ἀποσπάδας τούτους εὑρίσκων τῇδε κἀκεῖσε πλανωμένους, κακῶς διετίθει... 317. Καὶ ἤδη αὐτοῖς ἐπιλελοίπει τὰ ἐπιτήδεια, ἐβουλεύοντο μὲν εἰς τὰ ἴδια ὑπονοστῆσαι, ἐδεδίεσαν δὲ τὸν στόλον παραγειτονοῦντα καὶ τὸν ἀπόπλουν φυλάττοντα, καιρὸν δ᾽ ὅμως τηρήσαντες καὶ σύνθημα δόντες καὶ τὰ πρυμνήσια λύσαντες ἀπέπλεον. Οὐκ ἔλαθον δὲ τὸν πατρίκιον καὶ πρωτοβεστιάριον Θεοφάνην, ἀλλὰ γνοὺς οὗτος τὴν αὐτῶν ἀναχώρησιν ὑπαντιάζει τούτοις εὐθύς, καὶ γίνεται ναυμαχία δευτέρα, καὶ τρέπονται πάλιν οἱ Ῥώς. Καὶ τὰ μὲν τῶν σκαφῶν βυθῷ παρεδόθη, τὰ δὲ σίδηρος καὶ πῦρ ἐμερίσαντο, τὰ δὲ αὔτανδρα ὑπὸ ταῖς τῶν Ῥωμαίων χερσὶν ἐγένοντο· ὀλίγα δὲ τὴν τοῦ πολέμου διαφυγόντα ἀνάγκην πρὸς τὰ οἰκεῖα ἐχώρησαν. ἀνθ' ὧν ὁ βασιλεὺς τὸν πρωτοβεστιάριον ἀποδεξάμενος καὶ παρακοιμώμενον αὐτὸν προεβάλετο.

329. Καὶ ἡ τοῦ ποτὲ κατὰ Ῥωμαίων ἐκπλεύσαντος ἄρχοντος τῶν Ῥῶς γαμετή, Ἔλγα τοὔνομα, τοῦ ἀνδρὸς αὐτῆς ἀποθανόντος παρεγένετο ἐν Κωνσταντινουπόλει. καὶ βαπτισθεῖσα καὶ προαίρεσιν εἰλικρινοῦς ἐνδειξαμένη πίστεως, ἀξίως τιμηθεῖσα τῆς προαιρέσεως ἐπ' οἴκου ἀνέδραμε.

Φωκεύς, έως ὁ фокиец
φωνέω звучать, издавать звук
φωνή ἡ звук, голос, пение
φώρ, ρός ὁ вор
φωράω ловить вора, уличать
φώς, τός ὁ муж, герой
φῶς, τός τό свет, мн. ч. глаза

— Χ —

χʹ шестьсот
ʹχ шестьсот тысяч
χαίρω радоваться, здравствовать (T.VII)
Χαιρώνεια ἡ Херонся, г. в Беотии
Χαλδαῖος ὁ халдей, жрец вавилонский
χαλεπαίνω (dat.) сердиться, негодовать
χαλεπός 3 трудный, тяжелый, крутой
χαλινός ὁ узда
Χαλκιδεύς, έως ὁ халкидец, житель Халкиды на о-ве Эвбее
χαλκίοικος 2 живущий в медном храме; в ж. р. прозвище Афины
χαλκόπους, ποδος медноногий
χαλκός ὁ медь
χαλκοῦς, ῆ, οῦν медный
χαρά ἡ радость
χαρακτήρ, ῆρος ὁ знак, примета, особенность, характер
χαρίεις, εσσα εν приятный, прелестный, милый (§ 43)
χαρίζομαι делать приятное, угождать
χάριν ради
χάρις, ιτος ἡ прелесть, благодарность, изящество, красота
Χάριτες, ων αἱ Хариты, богини
Χάρων, ωνος ὁ Харон, мифический перевозчик в подземном царстве
χάσκω раскрывать рот, проглатывать
χατίζω нуждаться
χεῖλος, εος τό губа, край, берег
χεῖμα, τος τό = χειμών
χειμερινός (= χειμέριος) 3 зимний, холодный
χειμών, ῶνος ὁ зима, непогода
χείρ, ρός ἡ рука, власть (§ 29)
Χειρίσοφος ὁ Хирисоф, спартанский стратег
χείριστος 3 см. κακός (§ 70)
χειρόομαι прибирать к рукам, покорять
χειροτονέω голосовать поднятием рук

χείρων 2 см. κακός (§ 70)
χελιδών, όνος ἡ ласточка
Χέοψ, πος ὁ Хеопс, египет. царь
χερειότερος = χείρων
Χεῤῥονησίτης, ου ὁ херсонесец
Χεῤῥόνησος (Χερσόνησος) ἡ
Херсонес, название полуостровов во Фракии, Тавриде, Карии
χέρσος ἡ суша
χέω лить, сыпать (T.I,1,4)
χηλή ἡ копыто
χήν, νός ὁ, ἡ гусь
χθών, ονός ἡ 'земля, страна
χιλιάς, άδος ἡ тысяча
χίλιοι 3 тысяча
Χίος, ου ἡ Хиос, остров у М. Азии
χιτών, ῶνος ὁ хитон, плащ
χιών, όνος ἡ снег
χλαῖνα ἡ шерстяной плащ
χλωρός 3 зеленый, бледный
χοῖρος ὁ свинья
χολή ἡ желчь
χόλος ὁ = χολή
χολόω сердить
χορδή ἡ струна, тетива
χορεύω плясать, танцевать
χόρος ὁ хор, пляска, танец
χόρτος ὁ ограда, пастбище, корм, трава
χόω сыпать
χράομαι (dat.) пользоваться, обходиться (T.I,1,5)
χράω давать оракул, med. получать оракул (T.I,1,5)
χρεία ἡ нужда, необходимость, недостаток
Χρέμυλος ὁ Хремил, персонаж комедии Аристофана «Богатство»
χρέος, ους τό долг
χρή (acc. c. inf.) нужно, следует; χρέων нескл. причастие.
χρῄζω нуждаться, желать
χρῆμα, τος τό вещь, предмет, pl. деньги, богатство
χρήσιμος 3 полезный, годный, подходящий
χρῆσις, εως ἡ употребление
χρησμός ὁ изречение, предсказание оракула
χρηστεύομαι быть милосердным
χρηστήριον τό оракул
χρηστός 3 полезный, хороший, честный
χρηστότης, ητος ἡ честность, доброта
χριστός 3 помазанный, предназначенный для мазанья
χρίω мазать, помазывать
χροιά = χρώς
χρόνος ὁ время, χρόνῳ со временем, наконец
χρύσεος (οῦς, ῆ, οῦν) золотой
χρυσίον τό кусок золота
χρυσόμαλλος 2 златорунный
χρυσός ὁ золото
χρυσοφόρος 2 златоносный, с золотыми украшениями
χρυσοφύλαξ, κος стерегущий золото
χρυσοχάλινος 2 с золотой уздечкой
χρῶμα, τος τό цвет, краска

χρώννυμι красить (T.IX,1)
χρώς, τός τό цвет
χωλός 3 хромой
χῶμα, τος τό насыпь
χώννυμι = χόω
χώρα ἡ страна, земля
χωρέω уступать, уходить
χωρίζω отделять, отличать
χωρίον τό = χῶρος
χωρίς отдельно
χῶρος ὁ место, местность

— Ψ —

ψ' семьсот
,ψ семьсот тысяч
Ψαμμήτιχος ὁ Псамметих, египетский царь
ψαύω касаться
ψέγω порицать
ψεδνός 3 стертый, редкий
ψέλιον τό запястье, браслет
ψευδής, έος ὁ лжец
ψεῦδος, εος τό ложь, обман
Ψευδόσμερδις, ιος ὁ Лжесмердис, самозванец в Персии
ψεύδω лгать, обманывать
ψεύστης, ου ὁ обманщик, лжец
ψηφίζομαι подавать голос, решать
ψῆφος ἡ камешек, голосование
ψιλός 3 непокрытый, чистый, легковооруженный
ψιλόω очищать, снимать кожу
ψυχή ἡ дыхание, дух, душа, жизнь
ψῦχος, εος τό холод, стужа
ψυχρός 3 холодный
ψύχω дуть, дышать, охлаждать, сушить
ψωμίζω раздавать

— Ω —

ω' восемьсот
,ω восемьсот тысяч
ὧδε так, таким образом
ᾠδή ἡ песня
ὠδίνη ἡ родовая мука
ὠθέω толкать, med. бросаться (T.VII,1, T.X,2)
ὠθισμός ὁ толкотня, свалка
ὦκα быстро, скоро
ὠμοβόειος 3 сделанный из воловьей шкуры
ὦμος ὁ плечо
ὠμός 3 сырой, дикий
ὤν, οὖσα, ὄν см. εἰμί
ὠνέομαι покупать
ὠνή ἡ покупка
ὤνιον τό товар
ὤνιος 3 продажный, выставленный на продажу
ᾠόν τό яйцо
ὥρα ἡ время года, пора
ὡραία ἡ надлежащее время
ὡραῖος 3 зрелый, спелый
ὡς как, будто, подобно
ὡς что, чтобы, так что, когда
ὡς как, возможно (усилит.)

ὥσπερ как, как будто, словно

ὥστε так что, подобно тому как, поэтому

ὠτ- см. οὖς

ὠφέλεια ἡ помощь, польза, утешение

ὠφελέω приносить пользу, быть полезным (acc.)

ὠφέλημα, τος τό польза, выгода

ὠφέλιμος 3 полезный, выгодный

ὠφελία = ὠφέλεια

ὦφλημα, τος τό награда

ὤψ, ὠπός ἡ взгляд, вид, лицо

ПАМЯТНИКИ ХРИСТИАНСКОЙ ПИСЬМЕННОСТИ

СВЯЩЕННОЕ ПИСАНИЕ ВЕТХОГО И НОВОГО ЗАВЕТОВ

ВЕТХИЙ ЗАВЕТ (ΠΑΛΑΙΑ ΔΙΑΘΗΚΗ)[**]

КНИГА БЫТИЯ (ΓΕΝΕΣΙΣ)

I. 1. Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. **2.** ἡ δὲ γῆ
ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ
πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. **3.** καὶ εἶπεν ὁ θεός Γενηθήτω
φῶς. καὶ ἐγένετο φῶς. **4.** καὶ εἶδεν ὁ θεὸς τὸ φῶς ὅτι καλόν. καὶ
διεχώρισεν ὁ θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους.
5. καὶ ἐκάλεσεν ὁ θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκότος ἐκάλεσεν νύκτα.
καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα μία.

6. Καὶ εἶπεν ὁ θεός Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος καὶ
ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. καὶ ἐγένετο οὕτως.
7. καὶ ἐποίησεν ὁ θεὸς τὸ στερέωμα, καὶ διεχώρισεν ὁ θεὸς ἀνὰ μέσον
τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀνὰ μέσον τοῦ ὕδατος
τοῦ ἐπάνω τοῦ στερεώματος. **8.** καὶ ἐκάλεσεν ὁ θεὸς τὸ στερέωμα
οὐρανόν. καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο
πρωί, ἡμέρα δευτέρα.

9. Καὶ εἶπεν ὁ θεός Συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ
εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. καὶ ἐγένετο οὕτως. καὶ συνήχθη
τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη
ἡ ξηρά. **10.** καὶ ἐκάλεσεν ὁ θεὸς τὴν ξηρὰν γῆν καὶ τὰ συστήματα τῶν
ὑδάτων ἐκάλεσεν θαλάσσας. καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. – **11.** καὶ
εἶπεν ὁ θεός Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ

---
[*] Составители Т. Л. Александрова и Т. В. Суздальцева.
[**] Septuaginta / Ed. A. Ralfs. Stuttgart: Deutsche Bibelgesellschaft, 1979.

γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. καὶ ἐγένετο οὕτως 12. καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. 13. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα τρίτη.

14. Καὶ εἶπεν ὁ θεός Γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν τῆς γῆς τοῦ διαχωρίζειν ἀνὰ μέσον τῆς ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτὸς καὶ ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτοὺς 15. καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ ὥστε φαίνειν ἐπὶ τῆς γῆς. καὶ ἐγένετο οὕτως. 16. καὶ ἐποίησεν ὁ θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός, καὶ τοὺς ἀστέρας. 17. καὶ ἔθετο αὐτοὺς ὁ θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ ὥστε φαίνειν ἐπὶ τῆς γῆς 18. καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτὸς καὶ διαχωρίζειν ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. καὶ εἶδεν ὁ θεὸς ὅτι καλόν. 19. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα τετάρτη.

20. Καὶ εἶπεν ὁ θεός Ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ. καὶ ἐγένετο οὕτως. 21. καὶ ἐποίησεν ὁ θεὸς τὰ κήτη τὰ μεγάλα καὶ πᾶσαν ψυχὴν ζῴων ἑρπετῶν, ἃ ἐξήγαγεν τὰ ὕδατα κατὰ γένη αὐτῶν, καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος. καὶ εἶδεν ὁ θεὸς ὅτι καλά. 22. καὶ ηὐλόγησεν αὐτὰ ὁ θεὸς λέγων Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὰ ὕδατα ἐν ταῖς θαλάσσαις, καὶ τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς. 23. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα πέμπτη.

24. Καὶ εἶπεν ὁ θεός Ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς γῆς κατὰ γένος. καὶ ἐγένετο οὕτως. 25. καὶ ἐποίησεν ὁ θεὸς τὰ θηρία τῆς γῆς κατὰ γένος καὶ τὰ κτήνη κατὰ γένος καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος αὐτῶν. καὶ εἶδεν ὁ θεὸς ὅτι καλά. – 26. καὶ εἶπεν ὁ θεός Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. 27. καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς. 28. καὶ ηὐλόγησεν αὐτοὺς ὁ θεὸς

λέγων Αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν του οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. 29. καὶ εἶπεν ὁ θεός Ἰδοὺ δέδωκα ὑμῖν πᾶν χόρτον σπόριμον σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς, καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπορίμου – ὑμῖν ἔσται εἰς βρῶσιν – 30. καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ παντὶ ἑρπετῷ τῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. καὶ ἐγένετο οὕτως. 31. καὶ εἶδεν ὁ θεὸς τὰ πάντα, ὅσα ἐποίησεν, καὶ ἰδοὺ καλὰ λίαν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωί, ἡμέρα ἕκτη.

II. 1. Καὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶς ὁ κόσμος αὐτῶν. 2. καὶ συνετέλεσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησεν, καὶ κατέπαυσεν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησεν. 3.καὶ ηὐλόγησεν ὁ θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ θεὸς ποιῆσαι.

4. Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν 5. καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι· οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν, 6. πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς καὶ ἐπότιζεν πᾶν τὸ πρόσωπον τῆς γῆς. 7. καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.

8. Καὶ ἐφύτευσεν κύριος ὁ θεὸς παράδεισον ἐν Εδεμ κατὰ ἀνατολὰς καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασεν. 9. καὶ ἐξανέτειλεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τῷ παραδείσῳ καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ. 10. ποταμὸς δὲ ἐκπορεύεται ἐξ Εδεμ ποτίζειν τὸν παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς. 11. ὄνομα τῷ ἑνὶ Φισων· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Ευιλατ, ἐκεῖ οὗ ἐστιν τὸ χρυσίον· 12. τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν· καὶ ἐκεῖ ἐστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος. 13. καὶ ὄνομα τῷ ποταμῷ τῷ δευτέρῳ Γηων· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας. 14. καὶ ὁ ποταμὸς ὁ τρίτος Τίγρις· οὗτος ὁ πορευόμενος κατέναντι Ἀσσυρίων. ὁ δὲ ποταμὸς ὁ τέταρτος, οὗτος Εὐφράτης.

15. Καὶ ἔλαβεν κύριος ὁ θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασεν, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν. 16. καὶ ἐνετείλατο κύριος ὁ θεὸς τῷ Αδαμ λέγων Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φάγῃ, 17. ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε.

18. Καὶ εἶπεν κύριος ὁ θεός Οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον· ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν. 19. καὶ ἔπλασεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Αδαμ ἰδεῖν, τί καλέσει αὐτά, καὶ πᾶν, ὃ ἐὰν ἐκάλεσεν αὐτὸ Αδαμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτοῦ. 20. Καὶ ἐκάλεσεν Αδαμ ὀνόματα πᾶσιν τοῖς κτήνεσιν καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ, τῷ δὲ Αδαμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ. – 21. καὶ ἐπέβαλεν ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Αδαμ, καὶ ὕπνωσεν· καὶ ἔλαβεν μίαν τῶν πλευρῶν αὐτοῦ καὶ ἀνεπλήρωσεν σάρκα ἀντ' αὐτῆς. 22. καὶ ᾠκοδόμησεν κύριος ὁ θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Αδαμ, εἰς γυναῖκα καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Αδαμ. 23. καὶ εἶπεν Αδαμ Τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήμφθη αὕτη. 24. ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν. 25. καὶ ἦσαν οἱ δύο γυμνοί, ὅ τε Αδαμ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο.

III. 1. Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησεν κύριος ὁ θεός· καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί Τί ὅτι εἶπεν ὁ θεός Οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ; 2. καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει Ἀπὸ καρποῦ ξύλου τοῦ παραδείσου φαγόμεθα, 3. ἀπὸ δὲ καρποῦ τοῦ ξύλου, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου, εἶπεν ὁ θεός Οὐ φάγεσθε ἀπ' αὐτοῦ οὐδὲ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε. 4. καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί Οὐ θανάτῳ ἀποθανεῖσθε· 5. ᾔδει γὰρ ὁ θεὸς ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί, καὶ ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν. 6. καὶ εἶδεν ἡ γυνὴ ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν καὶ ὡραῖόν ἐστιν τοῦ κατανοῆσαι, καὶ λαβοῦσα τοῦ καρποῦ αὐτοῦ ἔφαγεν· καὶ ἔδωκεν καὶ τῷ ἀνδρὶ αὐτῆς μετ' αὐτῆς, καὶ ἔφαγον. 7. καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν, καὶ ἔρραψαν φύλλα συκῆς καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα.

8. Καὶ ἤκουσαν τὴν φωνὴν κυρίου τοῦ θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, καὶ ἐκρύβησαν ὅ τε Αδαμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου κυρίου τοῦ θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου. 9. καὶ ἐκάλεσεν κύριος ὁ θεὸς τὸν Αδαμ καὶ εἶπεν αὐτῷ Αδαμ, ποῦ εἶ; 10. καὶ εἶπεν αὐτῷ Τὴν φωνήν σου ἤκουσα περιπατοῦντος ἐν τῷ παραδείσῳ καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην. 11. καὶ εἶπεν αὐτῷ Τίς ἀνήγγειλέν σοι ὅτι γυμνὸς εἶ; μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν ἀπ᾽ αὐτοῦ, ἔφαγες; 12. καὶ εἶπεν ὁ Αδαμ Ἡ γυνή, ἣν ἔδωκας μετ᾽ ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον. 13. καὶ εἶπεν κύριος ὁ θεὸς τῇ γυναικί Τί τοῦτο ἐποίησας; καὶ εἶπεν ἡ γυνή Ὁ ὄφις ἠπάτησέν με, καὶ ἔφαγον. 14. καὶ εἶπεν κύριος ὁ θεὸς τῷ ὄφει Ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς· ἐπὶ τῷ στήθει σου καὶ τῇ κοιλίᾳ πορεύσῃ καὶ γῆν φάγῃ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. 15. καὶ ἔχθραν θήσω ἀνὰ μέσον σου καὶ ἀνὰ μέσον τῆς γυναικὸς καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς· αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν. 16. καὶ τῇ γυναικὶ εἶπεν Πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου, ἐν λύπαις τέξῃ τέκνα· καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει. 17. τῷ δὲ Αδαμ εἶπεν Ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν ἀπ᾽ αὐτοῦ, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φάγῃ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· 18. ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φάγῃ τὸν χόρτον τοῦ ἀγροῦ. 19. ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήμφθης, ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ. – 20. καὶ ἐκάλεσεν Αδαμ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ Ζωή, ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων.

21. Καὶ ἐποίησεν κύριος ὁ θεὸς τῷ Αδαμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους καὶ ἐνέδυσεν αὐτούς. – 22. καὶ εἶπεν ὁ θεός Ἰδοὺ Αδαμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, καὶ νῦν μήποτε ἐκτείνῃ τὴν χεῖρα καὶ λάβῃ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα. 23. καὶ ἐξαπέστειλεν αὐτὸν κύριος ὁ θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήμφθη. 24.καὶ ἐξέβαλεν τὸν Αδαμ καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς καὶ ἔταξεν τὰ χερουβιμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς.

ИЗБРАННЫЕ ПСАЛМЫ (ΨΑΛΜΟΙ ΕΚΛΕΚΤΟΙ)

I

1. Μακάριος ἀνήρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν
καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη
καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν,
2. ἀλλ' ἢ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ,
καὶ ἐν τῷ νόμῳ αὐτοῦ μελετήσει ἡμέρας καὶ νυκτός.
3. καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους
τῶν ὑδάτων,
ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ
καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται·
καὶ πάντα, ὅσα ἂν ποιῇ, κατευοδωθήσεται.
4. οὐχ οὕτως οἱ ἀσεβεῖς, οὐχ οὕτως,
ἀλλ' ἢ ὡς ὁ χνοῦς, ὃν ἐκριπτεῖ ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς.
5. διὰ τοῦτο οὐκ ἀναστήσονται ἀσεβεῖς ἐν κρίσει
οὐδὲ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων·
6. ὅτι γινώσκει κύριος ὁδὸν δικαίων,
καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται.

33

1. Τῷ Δαυιδ, ὁπότε ἠλλοίωσεν τὸ πρόσωπον
αὐτοῦ ἐναντίον Αβιμελεχ, καὶ ἀπέλυσεν
αὐτόν, καὶ ἀπῆλθεν.

2. Εὐλογήσω τὸν κύριον ἐν παντὶ καιρῷ,
διὰ παντὸς ἡ αἴνεσις αὐτοῦ ἐν τῷ στόματί μου.
3. ἐν τῷ κυρίῳ ἐπαινεσθήσεται ἡ ψυχή μου·
ἀκουσάτωσαν πραεῖς καὶ εὐφρανθήτωσαν.
4. μεγαλύνατε τὸν κύριον σὺν ἐμοί,
καὶ ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ ἐπὶ τὸ αὐτό.
5. ἐξεζήτησα τὸν κύριον, καὶ ἐπήκουσέν μου
καὶ ἐκ πασῶν τῶν παροικιῶν μου ἐρρύσατό με.
6. προσέλθατε πρὸς αὐτὸν καὶ φωτίσθητε,
καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.
7. οὗτος ὁ πτωχὸς ἐκέκραξεν, καὶ ὁ κύριος εἰσήκουσεν αὐτοῦ

καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτοῦ ἔσωσεν αὐτόν.
8. παρεμβαλεῖ ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτὸν καὶ ῥύσεται αὐτούς.
9. γεύσασθε καὶ ἴδετε ὅτι χρηστὸς ὁ κύριος·
μακάριος ἀνήρ, ὃς ἐλπίζει ἐπ᾽ αὐτόν.
10. φοβήθητε τὸν κύριον, οἱ ἅγιοι αὐτοῦ,
ὅτι οὐκ ἔστιν ὑστέρημα τοῖς φοβουμένοις αὐτόν.
11. πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν,
οἱ δὲ ἐκζητοῦντες τὸν κύριον οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.
[διάψαλμα.]
12. δεῦτε, τέκνα, ἀκούσατέ μου·
φόβον κυρίου διδάξω ὑμᾶς.
13. τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωὴν
ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγαθάς;
14. παῦσον τὴν γλῶσσάν σου ἀπὸ κακοῦ
καὶ χείλη σου τοῦ μὴ λαλῆσαι δόλον.
15. ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν,
ζήτησον εἰρήνην καὶ δίωξον αὐτήν.
16. ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους,
καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν.
17. πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακὰ
τοῦ ἐξολεθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν.
18. ἐκέκραξαν οἱ δίκαιοι, καὶ ὁ κύριος εἰσήκουσεν αὐτῶν
καὶ ἐκ πασῶν τῶν θλίψεων αὐτῶν ἐρρύσατο αὐτούς.
19. ἐγγὺς κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν
καὶ τοὺς ταπεινοὺς τῷ πνεύματι σώσει.
20. πολλαὶ αἱ θλίψεις τῶν δικαίων,
καὶ ἐκ πασῶν αὐτῶν ῥύσεται αὐτούς.
21. κύριος φυλάσσει πάντα τὰ ὀστᾶ αὐτῶν,
ἓν ἐξ αὐτῶν οὐ συντριβήσεται.
22. θάνατος ἁμαρτωλῶν πονηρός,
καὶ οἱ μισοῦντες τὸν δίκαιον πλημμελήσουσιν.
23. λυτρώσεται κύριος ψυχὰς δούλων αὐτοῦ,
καὶ οὐ μὴ πλημμελήσωσιν πάντες οἱ ἐλπίζοντες ἐπ᾽ αὐτόν.

1. Εἰς τὸ τέλος· ψαλμὸς τῷ Δαυιδ
2. ἐν τῷ
ἐλθεῖν πρὸς αὐτὸν Ναθαν τὸν προφήτην, ἡνίκα
εἰσῆλθεν πρὸς Βηρσαβεε.

3. Ἐλέησόν με, ὁ θεός, κατὰ τὸ μέγα ἔλεός σου
καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου·
4. ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου
καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.
5. ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω,
καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστιν διὰ παντός.
6. σοὶ μόνῳ ἥμαρτον
καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα,
ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου
καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.
7. ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήμφθην,
καὶ ἐν ἁμαρτίαις ἐκίσσησέν με ἡ μήτηρ μου.
8. ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας,
τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.
9. ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι·
πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
10. ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην·
ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα.
11. ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου
καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
12. καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ θεός,
καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
13. μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου
καὶ τὸ πνεῦμα τὸ ἅγιόν σου μὴ ἀντανέλῃς ἀπ᾿ ἐμοῦ.
14. ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου
καὶ πνεύματι ἡγεμονικῷ στήρισόν με.
15. διδάξω ἀνόμους τὰς ὁδούς σου,
καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσιν.
16. ῥῦσαί με ἐξ αἱμάτων, ὁ θεὸς ὁ θεὸς τῆς σωτηρίας μου·
ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.
17. κύριε, τὰ χείλη μου ἀνοίξεις,

καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
18. ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν·
ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
19. θυσία τῷ θεῷ πνεῦμα συντετριμμένον,
καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ θεὸς οὐκ ἐξουθενώσει.
20. ἀγάθυνον, κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιων,
καὶ οἰκοδομηθήτω τὰ τείχη Ιερουσαλημ·
21. τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης,
ἀναφορὰν καὶ ὁλοκαυτώματα·
τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

90

1. Αἶνος ᾠδῆς τῷ Δαυιδ.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου
ἐν σκέπῃ τοῦ θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται.
2. ἐρεῖ τῷ κυρίῳ Ἀντιλήμπτωρ μου εἶ καὶ καταφυγή μου,
ὁ θεός μου, ἐλπιῶ ἐπ᾽ αὐτόν,
3. ὅτι αὐτὸς ῥύσεταί με ἐκ παγίδος θηρευτῶν
καὶ ἀπὸ λόγου ταραχώδους.
4. ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι,
καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς·
ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ.
5. οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ,
ἀπὸ βέλους πετομένου ἡμέρας,
6. ἀπὸ πράγματος διαπορευομένου ἐν σκότει,
ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ.
7. πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς
καὶ μυριὰς ἐκ δεξιῶν σου,
πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ·
8. πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις
καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψῃ.
9. ὅτι σύ, κύριε, ἡ ἐλπίς μου·
τὸν ὕψιστον ἔθου καταφυγήν σου.
10. οὐ προσελεύσεται πρὸς σὲ κακά,
καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου,
11. ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ

τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου·
12. ἐπὶ χειρῶν ἀροῦσίν σε,
μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου·
13. ἐπ' ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ
καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.
14. ὅτι ἐπ' ἐμὲ ἤλπισεν, καὶ ῥύσομαι αὐτόν·
σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου.
15. ἐπικαλέσεταί με, καὶ εἰσακούσομαι αὐτοῦ,
μετ' αὐτοῦ εἰμι ἐν θλίψει
καὶ ἐξελοῦμαι καὶ δοξάσω αὐτόν.
16. μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν
καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

102

1. Τῷ Δαυιδ.

Εὐλόγει, ἡ ψυχή μου, τὸν κύριον
καί πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ·
2. εὐλόγει, ἡ ψυχή μου, τὸν κύριον
καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ·
3. τὸν εὐιλατεύοντα πάσαις ταῖς ἀνομίαις σου,
τὸν ἰώμενον πάσας τὰς νόσους σου·
4. τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου,
τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς·
5. τὸν ἐμπιπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου,
ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.
6. ποιῶν ἐλεημοσύνας ὁ κύριος
καὶ κρίμα πᾶσι τοῖς ἀδικουμένοις.
7. ἐγνώρισεν τὰς ὁδοὺς αὐτοῦ τῷ Μωυσῇ,
τοῖς υἱοῖς Ισραηλ τὰ θελήματα αὐτοῦ.
8. οἰκτίρμων καὶ ἐλεήμων ὁ κύριος,
μακρόθυμος καὶ πολυέλεος·
9. οὐκ εἰς τέλος ὀργισθήσεται
οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ·
10. οὐ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἐποίησεν ἡμῖν
οὐδὲ κατὰ τὰς ἀνομίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν
11. ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς

ἐκραταίωσεν κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν·
12. καθ᾽ ὅσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν,
ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν.
13. καθὼς οἰκτίρει πατὴρ υἱούς,
οἰκτίρησεν κύριος τοὺς φοβουμένους αὐτόν.
14. ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν·
μνήσθητι ὅτι χοῦς ἐσμεν.
15. ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ·
ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει·
16. ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει
καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.
17. τὸ δὲ ἔλεος τοῦ κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος
ἐπὶ τοὺς φοβουμένους αὐτόν,
καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοὺς υἱῶν
18. τοῖς φυλάσσουσιν τὴν διαθήκην αὐτοῦ
καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ τοῦ ποιῆσαι αὐτάς.
19. κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασεν τὸν θρόνον αὐτοῦ,
καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.
20. εὐλογεῖτε τὸν κύριον, πάντες οἱ ἄγγελοι αὐτοῦ,
δυνατοὶ ἰσχύι ποιοῦντες τὸν λόγον αὐτοῦ
τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ·
21. εὐλογεῖτε τὸν κύριον, πᾶσαι αἱ δυνάμεις αὐτοῦ,
λειτουργοὶ αὐτοῦ ποιοῦντες τὸ θέλημα αὐτοῦ·
22. εὐλογεῖτε τὸν κύριον, πάντα τὰ ἔργα αὐτοῦ
ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ·
εὐλόγει, ἡ ψυχή μου, τὸν κύριον.

103

1. Τῷ Δαυιδ.

Εὐλόγει, ἡ ψυχή μου, τὸν κύριον.
κύριε ὁ θεός μου, ἐμεγαλύνθης σφόδρα,
ἐξομολόγησιν καὶ εὐπρέπειαν ἐνεδύσω
2. ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον,
ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν·
3. ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ,
ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ,

ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων·
4. ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα
καὶ τοὺς λειτουργοὺς αὐτοῦ πῦρ φλέγον.
5. ἐθεμελίωσεν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς,
οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
6. ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ,
ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα·
7. ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται,
ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.
8. ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσιν πεδία
εἰς τόπον, ὃν ἐθεμελίωσας αὐτοῖς·
9. ὅριον ἔθου, ὃ οὐ παρελεύσονται,
οὐδὲ ἐπιστρέψουσιν καλύψαι τὴν γῆν.
10. ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν,
ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα·
11. ποτιοῦσιν πάντα τὰ θηρία τοῦ ἀγροῦ,
προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν·
12. ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει,
ἐκ μέσου τῶν πετρῶν δώσουσιν φωνήν.
13. ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ,
ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.
14. ἐξανατέλλων χόρτον τοῖς κτήνεσιν
καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων
τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς·
15. καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου
τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ,
καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.
16. χορτασθήσεται τὰ ξύλα τοῦ πεδίου,
αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσεν·
17. ἐκεῖ στρουθία ἐννοσσεύσουσιν,
τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν.
18. ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις,
πέτρα καταφυγὴ τοῖς χοιρογρυλλίοις.
19. ἐποίησεν σελήνην εἰς καιρούς,
ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.
20. ἔθου σκότος, καὶ ἐγένετο νύξ,
ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ,

21. σκύμνοι ὠρυόμενοι ἁρπάσαι
καὶ ζητῆσαι παρὰ τοῦ θεοῦ βρῶσιν αὐτοῖς.
22. ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν
καὶ ἐν ταῖς μάνδραις αὐτῶν κοιτασθήσονται·
23. ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ
καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.
24. ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, κύριε·
πάντα ἐν σοφίᾳ ἐποίησας,
ἐπληρώθη ἡ γῆ τῆς κτήσεώς σου.
25. αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος,
ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός,
ζῷα μικρὰ μετὰ μεγάλων·
26. ἐκεῖ πλοῖα διαπορεύονται,
δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ.
27. πάντα πρὸς σὲ προσδοκῶσιν
δοῦναι τὴν τροφὴν αὐτοῖς εὔκαιρον.
28. δόντος σου αὐτοῖς συλλέξουσιν,
ἀνοίξαντος δέ σου τὴν χεῖρα τὰ σύμπαντα πλησθήσονται χρηστότητος.
29. ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταραχθήσονται·
ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσιν
καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.
30. ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται,
καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.
31. ἤτω ἡ δόξα κυρίου εἰς τὸν αἰῶνα,
εὐφρανθήσεται κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ·
32. ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν,
ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται.
33. ᾄσω τῷ κυρίῳ ἐν τῇ ζωῇ μου,
ψαλῶ τῷ θεῷ μου, ἕως ὑπάρχω·
34. ἡδυνθείη αὐτῷ ἡ διαλογή μου,
ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ κυρίῳ.
35. ἐκλίποισαν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς
καὶ ἄνομοι ὥστε μὴ ὑπάρχειν αὐτούς.
Εὐλόγει, ἡ ψυχή μου, τὸν κύριον.

1. Τῷ Δαυιδ.

Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος
ἐκεῖ ἐκαθίσαμεν καὶ ἐκλαύσαμεν
ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιων.
2. ἐπὶ ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν·
3. ὅτι ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς λόγους ᾠδῶν
καὶ οἱ ἀπαγαγόντες ἡμᾶς ὕμνον
Ἄισατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιων.
4. πῶς ᾄσωμεν τὴν ᾠδὴν κυρίου ἐπὶ γῆς ἀλλοτρίας;
5. ἐὰν ἐπιλάθωμαί σου, Ιερουσαλημ, ἐπιλησθείη ἡ δεξιά μου·
6. κολληθείη ἡ γλῶσσά μου τῷ λάρυγγί μου, ἐὰν μή σου μνησθῶ,
ἐὰν μὴ προανατάξωμαι τὴν Ιερουσαλημ ἐν ἀρχῇ τῆς εὐφροσύνης μου.
7. μνήσθητι, κύριε, τῶν υἱῶν Εδωμ τὴν ἡμέραν Ιερουσαλημ
τῶν λεγόντων Ἐκκενοῦτε ἐκκενοῦτε, ἕως ὁ θεμέλιος ἐν αὐτῇ.
8. θυγάτηρ Βαβυλῶνος ἡ ταλαίπωρος,
μακάριος ὃς ἀνταποδώσει σοι τὸ ἀνταπόδομά σου, ὃ ἀνταπέδωκας ἡμῖν·
9. μακάριος ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν.

КНИГА ЕККЛЕЗИАСТА (ΕΚΚΛΗΣΙΑΣΤΗΣ)

I

1. Ῥήματα Ἐκκλησιαστοῦ υἱοῦ Δαυιδ
βασιλέως Ισραηλ ἐν Ιερουσαλημ.

2. Ματαιότης ματαιοτήτων, εἶπεν ὁ Ἐκκλησιαστής,
ματαιότης ματαιοτήτων, τὰ πάντα ματαιότης.
3. τίς περισσεία τῷ ἀνθρώπῳ
ἐν παντὶ μόχθῳ αὐτοῦ, ᾧ μοχθεῖ ὑπὸ τὸν ἥλιον;
4. γενεὰ πορεύεται καὶ γενεὰ ἔρχεται,
καὶ ἡ γῆ εἰς τὸν αἰῶνα ἕστηκεν.
5. καὶ ἀνατέλλει ὁ ἥλιος καὶ δύνει ὁ ἥλιος
καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει·
6. ἀνατέλλων αὐτὸς ἐκεῖ πορεύεται πρὸς νότον
καὶ κυκλοῖ πρὸς βορρᾶν·
κυκλοῖ κυκλῶν, πορεύεται τὸ πνεῦμα,

καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα.
7. πάντες οἱ χείμαρροι, πορεύονται εἰς τὴν θάλασσαν,
καὶ ἡ θάλασσα οὐκ ἔσται ἐμπιμπλαμένη·
εἰς τόπον, οὗ οἱ χείμαρροι πορεύονται,
ἐκεῖ αὐτοὶ ἐπιστρέφουσιν τοῦ πορευθῆναι.
8. πάντες οἱ λόγοι ἔγκοποι·
οὐ δυνήσεται ἀνὴρ τοῦ λαλεῖν,
καὶ οὐκ ἐμπλησθήσεται ὀφθαλμὸς τοῦ ὁρᾶν,
καὶ οὐ πληρωθήσεται οὖς ἀπὸ ἀκροάσεως.
9. τί τὸ γεγονός, αὐτὸ τὸ γενησόμενον·
καὶ τί τὸ πεποιημένον, αὐτὸ τὸ ποιηθησόμενον·
καὶ οὐκ ἔστιν πᾶν πρόσφατον ὑπὸ τὸν ἥλιον.
10. ὃς λαλήσει καὶ ἐρεῖ Ἰδὲ τοῦτο καινόν ἐστιν,
ἤδη γέγονεν ἐν τοῖς αἰῶσιν
τοῖς γενομένοις ἀπὸ ἔμπροσθεν ἡμῶν.
11. οὐκ ἔστιν μνήμη τοῖς πρώτοις,
καί γε τοῖς ἐσχάτοις γενομένοις
οὐκ ἔσται αὐτοῖς μνήμη
μετὰ τῶν γενησομένων εἰς τὴν ἐσχάτην.
12. Ἐγὼ Ἐκκλησιαστὴς ἐγενόμην
βασιλεὺς ἐπὶ Ισραηλ ἐν Ιερουσαλημ·
13. καὶ ἔδωκα τὴν καρδίαν μου τοῦ ἐκζητῆσαι
καὶ τοῦ κατασκέψασθαι ἐν τῇ σοφίᾳ περὶ πάντων
τῶν γινομένων ὑπὸ τὸν οὐρανόν·
ὅτι περισπασμὸν πονηρὸν
ἔδωκεν ὁ θεὸς τοῖς υἱοῖς τοῦ ἀνθρώπου
τοῦ περισπᾶσθαι ἐν αὐτῷ.
14. εἶδον σὺν πάντα τὰ ποιήματα
τὰ πεποιημένα ὑπὸ τὸν ἥλιον,
καὶ ἰδοὺ τὰ πάντα ματαιότης καὶ προαίρεσις πνεύματος.
15. διεστραμμένον οὐ δυνήσεται τοῦ ἐπικοσμηθῆναι,
καὶ ὑστέρημα οὐ δυνήσεται τοῦ ἀριθμηθῆναι.
16. ἐλάλησα ἐγὼ ἐν καρδίᾳ μου τῷ λέγειν
Ἐγὼ ἰδοὺ ἐμεγαλύνθην
καὶ προσέθηκα σοφίαν ἐπὶ πᾶσιν,
οἳ ἐγένοντο ἔμπροσθέν μου ἐν Ιερουσαλημ,
καὶ καρδία μου εἶδεν πολλά, σοφίαν καὶ γνῶσιν.

17. καὶ ἔδωκα καρδίαν μου τοῦ γνῶναι σοφίαν καὶ γνῶσιν,
παραβολὰς καὶ ἐπιστήμην ἔγνων,
ὅτι καί γε τοῦτ᾿ ἔστιν προαίρεσις πνεύματος·
18. ὅτι ἐν πλήθει σοφίας πλῆθος γνώσεως,
καὶ ὁ προστιθεὶς γνῶσιν προσθήσει ἄλγημα.

НОВЫЙ ЗАВЕТ (ΚΑΙΝΗ ΔΙΑΘΗΚΗ)*

ЕВАНГЕЛИЯ (ΕΥΑΓΓΕΛΙΑ)

Ин. 1, 1–18

1 «В начале было Слово»... 6 Свидетельство Иоанна Крестителя об истинном Свете.**

1 Ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος. 2 οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν. 3 πάντα δι᾿ αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ὃ γέγονεν· 4 ἐν*** αὐτῷ ζωὴ ἦν, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων· 5 καὶ τὸ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν.

6 Ἐγένετο ἄνθρωπος, ἀπεσταλμένος παρὰ θεοῦ, ὄνομα αὐτῷ Ἰωάννης· 7 οὗτος ἦλθεν εἰς μαρτυρίαν, ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός, ἵνα πάντες πιστεύσωσιν δι᾿ αὐτοῦ. 8 οὐκ ἦν ἐκεῖνος τὸ φῶς, ἀλλ᾿ ἵνα μαρτυρήσῃ περὶ τοῦ φωτός. 9 Ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον, ἐρχόμενον εἰς τὸν κόσμον. 10 ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι᾿ αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω. 11 εἰς τὰ ἴδια ἦλθεν, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον. 12 ὅσοι δὲ ἔλαβον αὐτόν, ἔδωκεν αὐτοῖς ἐξουσίαν τέκνα θεοῦ γενέσθαι, τοῖς πιστεύουσιν εἰς τὸ ὄνομα αὐτοῦ, 13 οἳ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματος σαρκὸς οὐδὲ ἐκ θελήματος ἀνδρὸς ἀλλ᾿ ἐκ θεοῦ ἐγεννήθησαν.

---

* Греческий текст: The Greek New Testament / Ed. K. Aland, M. Black, C. M. Martini, B. M. Metzger, A. Wikgren (Former Editions); B. Aland, K. Aland, J. Karavidopoulos, C. M. Martini, B. M. Metzger (Fourth Revised Edition) in coop. with the Institute for New Testament Textual Research, Münster/Westphalia. Stuttgart: Deutsche Bibelgesellschaft, 1993.

** Здесь и далее краткое содержание фрагментов новозаветного повествования взято из издания Синодального перевода Нового Завета.

*** Вариант интерпункции, которому соответствуют тексты Вульгаты и Синодального перевода: οὐδὲ ἕν ὃ γέγονεν. ἐν...

14 Καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ
ἐθεασάμεθα τὴν δόξαν αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ πατρός,
πλήρης χάριτος καὶ ἀληθείας. 15 Ἰωάννης μαρτυρεῖ περὶ αὐτοῦ καὶ
κέκραγεν λέγων, Οὗτος ἦν ὃν εἶπον, Ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν
μου γέγονεν, ὅτι πρῶτός μου ἦν. 16 ὅτι ἐκ τοῦ πληρώματος αὐτοῦ
ἡμεῖς πάντες ἐλάβομεν καὶ χάριν ἀντὶ χάριτος· 17 ὅτι ὁ νόμος διὰ
Μωϋσέως ἐδόθη, ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.
18 θεὸν οὐδεὶς ἑώρακεν πώποτε· μονογενὴς θεὸς ὁ ὢν εἰς τὸν κόλπον
τοῦ πατρὸς ἐκεῖνος ἐξηγήσατο.

Лк. 1, 26–56

26 Благовещение ангела Марии о рождении Иисуса;
39 Посещение Елисаветы; «Величит душа моя Господа»

26 Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ ἀπὸ τοῦ
θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας ᾗ ὄνομα Ναζαρὲθ 27 πρὸς παρθένον
ἐμνηστευμένην ἀνδρὶ ᾧ ὄνομα Ἰωσὴφ ἐξ οἴκου Δαυίδ, καὶ τὸ ὄνομα
τῆς παρθένου Μαριάμ. 28 καὶ εἰσελθὼν πρὸς αὐτὴν εἶπεν, Χαῖρε,
κεχαριτωμένη, ὁ κύριος μετὰ σοῦ. 29 ἡ δὲ ἐπὶ τῷ λόγῳ διεταράχθη καὶ
διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. 30 καὶ εἶπεν ὁ ἄγγελος
αὐτῇ, Μὴ φοβοῦ, Μαριάμ, εὗρες γὰρ χάριν παρὰ τῷ θεῷ· 31 καὶ ἰδοὺ
συλλήμψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ
Ἰησοῦν. 32 οὗτος ἔσται μέγας καὶ υἱὸς ὑψίστου κληθήσεται, καὶ δώσει
αὐτῷ κύριος ὁ θεὸς τὸν θρόνον Δαυὶδ τοῦ πατρὸς αὐτοῦ, 33 καὶ
βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας
αὐτοῦ οὐκ ἔσται τέλος. 34 εἶπεν δὲ Μαριὰμ πρὸς τὸν ἄγγελον, Πῶς
ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; 35 καὶ ἀποκριθεὶς ὁ ἄγγελος
εἶπεν αὐτῇ, Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σέ, καὶ δύναμις ὑψίστου
ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται υἱὸς θεοῦ.
36 καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενίς σου καὶ αὐτὴ συνείληφεν υἱὸν ἐν
γήρει αὐτῆς, καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ·
37 ὅτι οὐκ ἀδυνατήσει παρὰ τοῦ θεοῦ πᾶν ῥῆμα. 38 εἶπεν δὲ Μαριάμ,
Ἰδοὺ ἡ δούλη κυρίου· γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. καὶ ἀπῆλθεν ἀπ᾽
αὐτῆς ὁ ἄγγελος.

39 Ἀναστᾶσα δὲ Μαριὰμ ἐν ταῖς ἡμέραις ταύταις ἐπορεύθη εἰς
τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα, 40 καὶ εἰσῆλθεν εἰς τὸν
οἶκον Ζαχαρίου καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. 41 καὶ ἐγένετο ὡς
ἤκουσεν τὸν ἀσπασμὸν τῆς Μαρίας ἡ Ἐλισάβετ, ἐσκίρτησεν τὸ βρέφος

ἐν τῇ κοιλίᾳ αὐτῆς, καὶ ἐπλήσθη πνεύματος ἁγίου ἡ Ἐλισάβετ, 42 καὶ
ἀνεφώνησεν κραυγῇ μεγάλῃ καὶ εἶπεν, Εὐλογημένη σὺ ἐν γυναιξίν,
καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. 43 καὶ πόθεν μοι τοῦτο
ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ κυρίου μου πρὸς ἐμέ; 44 ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ
φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησεν ἐν ἀγαλλιάσει
τὸ βρέφος ἐν τῇ κοιλίᾳ μου. 45 καὶ μακαρία ἡ πιστεύσασα ὅτι ἔσται
τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ κυρίου.

46 Καὶ εἶπεν Μαριάμ,
Μεγαλύνει ἡ ψυχή μου τὸν κύριον,
47 καὶ ἠγαλλίασεν τὸ πνεῦμά μου ἐπὶ τῷ θεῷ τῷ σωτῆρί μου,
48 ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.
ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσίν με πᾶσαι αἱ γενεαί·
49 ὅτι ἐποίησέν μοι μεγάλα ὁ δυνατός,
καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ,
50 καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰς καὶ γενεὰς
τοῖς φοβουμένοις αὐτόν.
51 Ἐποίησεν κράτος ἐν βραχίονι αὐτοῦ,
διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν·
52 καθεῖλεν δυνάστας ἀπὸ θρόνων
καὶ ὕψωσεν ταπεινούς,
53 πεινῶντας ἐνέπλησεν ἀγαθῶν
καὶ πλουτοῦντας ἐξαπέστειλεν κενούς.
54 ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ,
μνησθῆναι ἐλέους,
55 καθὼς ἐλάλησεν πρὸς τοὺς πατέρας ἡμῶν,
τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ εἰς τὸν αἰῶνα.

56 Ἔμεινεν δὲ Μαριὰμ σὺν αὐτῇ ὡς μῆνας τρεῖς, καὶ ὑπέστρεψεν
εἰς τὸν οἶκον αὐτῆς.

Лк. 2, 1–40

1 Рождение Иисуса; явление ангела пастухам. 21 Встреча Младенца в храме Симеоном и Анной. 40 «Младенец возрастал»

2 Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ἐκείναις ἐξῆλθεν δόγμα παρὰ
Καίσαρος Αὐγούστου ἀπογράφεσθαι πᾶσαν τὴν οἰκουμένην. 2 αὕτη
ἀπογραφὴ πρώτη ἐγένετο ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου. 3 καὶ
ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἑαυτοῦ πόλιν.
4 Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας ἐκ πόλεως Ναζαρὲθ εἰς τὴν

Ἰουδαίαν εἰς πόλιν Δαυὶδ ἥτις καλεῖται Βηθλέεμ, διὰ τὸ εἶναι αὐτὸν
ἐξ οἴκου καὶ πατριᾶς Δαυίδ, 5 ἀπογράψασθαι σὺν Μαριὰμ τῇ
ἐμνηστευμένῃ αὐτῷ, οὔσῃ ἐγκύῳ. 6 ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ
ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν, 7 καὶ ἔτεκεν τὸν υἱὸν αὐτῆς
τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν καὶ ἀνέκλινεν αὐτὸν ἐν
φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι.

8 Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες καὶ
φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν. 9 καὶ ἄγγελος
κυρίου ἐπέστη αὐτοῖς καὶ δόξα κυρίου περιέλαμψεν αὐτούς, καὶ
ἐφοβήθησαν φόβον μέγαν. 10 καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος, Μὴ φοβεῖσθε,
ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην ἥτις ἔσται παντὶ τῷ
λαῷ, 11 ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ ὅς ἐστιν Χριστὸς κύριος ἐν
πόλει Δαυίδ· 12 καὶ τοῦτο ὑμῖν τὸ σημεῖον, εὑρήσετε βρέφος
ἐσπαργανωμένον καὶ κείμενον ἐν φάτνῃ. 13 καὶ ἐξαίφνης ἐγένετο σὺν
τῷ ἀγγέλῳ πλῆθος στρατιᾶς οὐρανίου αἰνούντων τὸν θεὸν καὶ λεγόντων,

14 Δόξα ἐν ὑψίστοις θεῷ
καὶ ἐπὶ γῆς εἰρήνη ἐν ἀνθρώποις εὐδοκίας.

15 Καὶ ἐγένετο ὡς ἀπῆλθον ἀπ᾽ αὐτῶν εἰς τὸν οὐρανὸν οἱ ἄγγελοι,
οἱ ποιμένες ἐλάλουν πρὸς ἀλλήλους, Διέλθωμεν δὴ ἕως Βηθλέεμ καὶ
ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς ὃ ὁ κύριος ἐγνώρισεν ἡμῖν. 16 καὶ
ἦλθον σπεύσαντες καὶ ἀνεῦρον τήν τε Μαριὰμ καὶ τὸν Ἰωσὴφ καὶ τὸ
βρέφος κείμενον ἐν τῇ φάτνῃ· 17 ἰδόντες δὲ ἐγνώρισαν περὶ τοῦ ῥήματος
τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου. 18 καὶ πάντες οἱ
ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν ποιμένων πρὸς
αὐτούς· 19 ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα
συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. 20 καὶ ὑπέστρεψαν οἱ ποιμένες
δοξάζοντες καὶ αἰνοῦντες τὸν θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον
καθὼς ἐλαλήθη πρὸς αὐτούς.

21 Καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν αὐτόν, καὶ
ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ ἀγγέλου πρὸ τοῦ
συλλημφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ.

22 Καὶ ὅτε ἐπλήσθησαν αἱ ἡμέραι τοῦ καθαρισμοῦ αὐτῶν κατὰ
τὸν νόμον Μωϋσέως, ἀνήγαγον αὐτὸν εἰς Ἱεροσόλυμα παραστῆσαι τῷ
κυρίῳ, 23 καθὼς γέγραπται ἐν νόμῳ κυρίου ὅτι Πᾶν ἄρσεν διανοῖγον
μήτραν ἅγιον τῷ κυρίῳ κληθήσεται, 24 καὶ τοῦ δοῦναι θυσίαν κατὰ
τὸ εἰρημένον ἐν τῷ νόμῳ κυρίου, ζεῦγος τρυγόνων ἢ δύο νοσσοὺς
περιστερῶν.

25 Καὶ ἰδοὺ ἄνθρωπος ἦν ἐν Ἰερουσαλὴμ ᾧ ὄνομα Συμεών, καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβής, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ, καὶ πνεῦμα ἦν ἅγιον ἐπ' αὐτόν· 26 καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ πνεύματος τοῦ ἁγίου μὴ ἰδεῖν θάνατον πρὶν [ἢ] ἂν ἴδῃ τὸν Χριστὸν κυρίου. 27 καὶ ἦλθεν ἐν τῷ πνεύματι εἰς τὸ ἱερόν· καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ 28 καὶ αὐτὸς ἐδέξατο αὐτὸ εἰς τὰς ἀγκάλας καὶ εὐλόγησεν τὸν θεὸν καὶ εἶπεν,

29 Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα,
κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ·
30 ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου
31 ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν,
32 φῶς εἰς ἀποκάλυψιν ἐθνῶν
καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

33 καὶ ἦν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ. 34 καὶ εὐλόγησεν αὐτοὺς Συμεὼν καὶ εἶπεν πρὸς Μαριὰμ τὴν μητέρα αὐτοῦ, Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ καὶ εἰς σημεῖον ἀντιλεγόμενον 35 – καὶ σοῦ [δὲ] αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία –, ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί.

36 Καὶ ἦν Ἅννα προφῆτις, θυγάτηρ Φανουήλ, ἐκ φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα μετὰ ἀνδρὸς ἔτη ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς, 37 καὶ αὐτὴ χήρα ἕως ἐτῶν ὀγδοήκοντα τεσσάρων, ἣ οὐκ ἀφίστατο τοῦ ἱεροῦ νηστείαις καὶ δεήσεσιν λατρεύουσα νύκτα καὶ ἡμέραν. 38 καὶ αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα ἀνθωμολογεῖτο τῷ θεῷ καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσιν τοῖς προσδεχομένοις λύτρωσιν Ἰερουσαλήμ.

39 Καὶ ὡς ἐτέλεσαν πάντα τὰ κατὰ τὸν νόμον κυρίου, ἐπέστρεψαν εἰς τὴν Γαλιλαίαν εἰς πόλιν ἑαυτῶν Ναζαρέθ. 40 Τὸ δὲ παιδίον ηὔξανεν καὶ ἐκραταιοῦτο πληρούμενον σοφίᾳ, καὶ χάρις θεοῦ ἦν ἐπ' αὐτό.

Мк. 1, 1–13.

1 Иоанн Креститель приготовляет путь. 9 Крещение Иисуса; 12 Искушение в пустыне и проповедь в Галилее

1 Ἀρχὴ τοῦ εὐαγγελίου Ἰησοῦ Χριστοῦ [υἱοῦ θεοῦ].
2 Καθὼς γέγραπται ἐν τῷ Ἠσαΐᾳ τῷ προφήτῃ,
Ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου,
ὃς κατασκευάσει τὴν ὁδόν σου·

3 *φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ,*
Ἑτοιμάσατε τὴν ὁδὸν κυρίου,
εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ,
4. ἐγένετο Ἰωάννης βαπτίζων ἐν τῇ ἐρήμῳ καὶ κηρύσσων βάπτισμα
μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. **5** καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα
ἡ Ἰουδαία χώρα καὶ οἱ Ἱεροσολυμῖται πάντες, καὶ ἐβαπτίζοντο ὑπ'
αὐτοῦ ἐν τῷ Ἰορδάνῃ ποταμῷ ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.
6 καὶ ἦν ὁ Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου καὶ ζώνην δερματίνην
περὶ τὴν ὀσφὺν αὐτοῦ, καὶ ἐσθίων ἀκρίδας καὶ μέλι ἄγριον. **7** καὶ
ἐκήρυσσεν λέγων, Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ
ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· **8** ἐγὼ ἐβάπτισα
ὑμᾶς ὕδατι, αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν πνεύματι ἁγίῳ.
9 Καὶ ἐγένετο ἐν ἐκείναις ταῖς ἡμέραις ἦλθεν Ἰησοῦς ἀπὸ Ναζαρὲτ
τῆς Γαλιλαίας καὶ ἐβαπτίσθη εἰς τὸν Ἰορδάνην ὑπὸ Ἰωάννου. **10** καὶ
εὐθὺς ἀναβαίνων ἐκ τοῦ ὕδατος εἶδεν σχιζομένους τοὺς οὐρανοὺς καὶ
τὸ πνεῦμα ὡς περιστερὰν καταβαῖνον εἰς αὐτόν· **11** καὶ φωνὴ ἐγένετο
ἐκ τῶν οὐρανῶν, Σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν σοὶ εὐδόκησα.
12 Καὶ εὐθὺς τὸ πνεῦμα αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρημον. **13** καὶ ἦν
ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἡμέρας πειραζόμενος ὑπὸ τοῦ Σατανᾶ, καὶ
ἦν μετὰ τῶν θηρίων, καὶ οἱ ἄγγελοι διηκόνουν αὐτῷ. **14** Μετὰ δὲ τὸ
παραδοθῆναι τὸν Ἰωάννην ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Γαλιλαίαν κηρύσσων
τὸ εὐαγγέλιον τοῦ θεοῦ **15** καὶ λέγων ὅτι Πεπλήρωται ὁ καιρὸς καὶ
ἤγγικεν ἡ βασιλεία τοῦ θεοῦ· μετανοεῖτε καὶ πιστεύετε ἐν τῷ
εὐαγγελίῳ.

Мф. 5–7

Нагорная проповедь

5 Ἰδὼν δὲ τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος· καὶ καθίσαντος αὐτοῦ
προσῆλθαν αὐτῷ οἱ μαθηταὶ αὐτοῦ· **2** καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ
ἐδίδασκεν αὐτοὺς λέγων,
3 Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι,
ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.
4 μακάριοι οἱ πενθοῦντες,
ὅτι αὐτοὶ παρακληθήσονται.
5 μακάριοι οἱ πραεῖς,
ὅτι αὐτοὶ κληρονομήσουσιν τὴν γῆν.
6 μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην,

ὅτι αὐτοὶ χορτασθήσονται.
7 μακάριοι οἱ ἐλεήμονες,
ὅτι αὐτοὶ ἐλεηθήσονται.
8 μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ,
ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται.
9 μακάριοι οἱ εἰρηνοποιοί,
ὅτι [αὐτοὶ] υἱοὶ θεοῦ κληθήσονται.
10 μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης,
ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

11 μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσιν καὶ εἴπωσιν
πᾶν πονηρὸν καθ' ὑμῶν [ψευδόμενοι] ἕνεκεν ἐμοῦ. 12 χαίρετε καὶ
ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς οὐρανοῖς· οὕτως γὰρ
ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν.

13 Ὑμεῖς ἐστε τὸ ἅλας τῆς γῆς· ἐὰν δὲ τὸ ἅλας μωρανθῇ, ἐν τίνι
ἁλισθήσεται; εἰς οὐδὲν ἰσχύει ἔτι εἰ μὴ βληθῆναι ἔξω καὶ
καταπατεῖσθαι ὑπὸ τῶν ἀνθρώπων. 14 Ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου.
οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη· 15 οὐδὲ καίουσιν
λύχνον καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ
λάμπει πᾶσιν τοῖς ἐν τῇ οἰκίᾳ. 16 οὕτως λαμψάτω τὸ φῶς ὑμῶν
ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ
δοξάσωσιν τὸν πατέρα ὑμῶν τὸν ἐν τοῖς οὐρανοῖς.

17 Μὴ νομίσητε ὅτι ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας·
οὐκ ἦλθον καταλῦσαι ἀλλὰ πληρῶσαι. 18 ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν
παρέλθῃ ὁ οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν ἢ μία κεραία οὐ μὴ παρέλθῃ
ἀπὸ τοῦ νόμου ἕως ἂν πάντα γένηται. 19 ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν
ἐντολῶν τούτων τῶν ἐλαχίστων καὶ διδάξῃ οὕτως τοὺς ἀνθρώπους,
ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν· ὃς δ' ἂν ποιήσῃ
καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.
20 λέγω γὰρ ὑμῖν ὅτι ἐὰν μὴ περισσεύσῃ ὑμῶν ἡ δικαιοσύνη πλεῖον
τῶν γραμματέων καὶ Φαρισαίων, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν
τῶν οὐρανῶν.

21 Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, Οὐ φονεύσεις· ὃς δ' ἂν
φονεύσῃ, ἔνοχος ἔσται τῇ κρίσει. 22 ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ
ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ ἔνοχος ἔσται τῇ κρίσει· ὃς δ' ἂν εἴπῃ τῷ
ἀδελφῷ αὐτοῦ, Ῥακά, ἔνοχος ἔσται τῷ συνεδρίῳ· ὃς δ' ἂν εἴπῃ, Μωρέ,
ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός. 23 ἐὰν οὖν προσφέρῃς τὸ
δῶρόν σου ἐπὶ τὸ θυσιαστήριον κἀκεῖ μνησθῇς ὅτι ὁ ἀδελφός σου ἔχει

τι κατὰ σοῦ, **24** ἄφες ἐκεῖ τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου,
καὶ ὕπαγε πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε
τὸ δῶρόν σου. **25** ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχὺ ἕως ὅτου εἶ μετ'
αὐτοῦ ἐν τῇ ὁδῷ, μήποτέ σε παραδῷ ὁ ἀντίδικος τῷ κριτῇ, καὶ ὁ κριτὴς
τῷ ὑπηρέτῃ, καὶ εἰς φυλακὴν βληθήσῃ· **26** ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς
ἐκεῖθεν ἕως ἂν ἀποδῷς τὸν ἔσχατον κοδράντην.

27 Ἠκούσατε ὅτι ἐρρέθη, Οὐ μοιχεύσεις. **28** ἐγὼ δὲ λέγω ὑμῖν ὅτι
πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι αὐτὴν ἤδη ἐμοίχευσεν
αὐτὴν ἐν τῇ καρδίᾳ αὐτοῦ. **29** εἰ δὲ ὁ ὀφθαλμός σου ὁ δεξιὸς σκανδαλίζει
σε, ἔξελε αὐτὸν καὶ βάλε ἀπὸ σοῦ· συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν
τῶν μελῶν σου καὶ μὴ ὅλον τὸ σῶμά σου βληθῇ εἰς γέενναν. **30** καὶ εἰ
ἡ δεξιά σου χεὶρ σκανδαλίζει σε, ἔκκοψον αὐτὴν καὶ βάλε ἀπὸ σοῦ·
συμφέρει γάρ σοι ἵνα ἀπόληται ἓν τῶν μελῶν σου καὶ μὴ ὅλον τὸ
σῶμά σου εἰς γέενναν ἀπέλθῃ.

31 Ἐρρέθη δέ, Ὃς ἂν ἀπολύσῃ τὴν γυναῖκα αὐτοῦ, δότω αὐτῇ
ἀποστάσιον. **32** ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶς ὁ ἀπολύων τὴν γυναῖκα
αὐτοῦ παρεκτὸς λόγου πορνείας ποιεῖ αὐτὴν μοιχευθῆναι, καὶ ὃς ἐὰν
ἀπολελυμένην γαμήσῃ μοιχᾶται.

33 Πάλιν ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, Οὐκ ἐπιορκήσεις,
ἀποδώσεις δὲ τῷ κυρίῳ τοὺς ὅρκους σου. **34** ἐγὼ δὲ λέγω ὑμῖν μὴ
ὀμόσαι ὅλως· μήτε ἐν τῷ οὐρανῷ, ὅτι θρόνος ἐστὶν τοῦ θεοῦ· **35** μήτε ἐν
τῇ γῇ, ὅτι ὑποπόδιόν ἐστιν τῶν ποδῶν αὐτοῦ· μήτε εἰς Ἱεροσόλυμα, ὅτι
πόλις ἐστὶν τοῦ μεγάλου βασιλέως· **36** μήτε ἐν τῇ κεφαλῇ σου ὀμόσῃς,
ὅτι οὐ δύνασαι μίαν τρίχα λευκὴν ποιῆσαι ἢ μέλαιναν. **37** ἔστω δὲ ὁ
λόγος ὑμῶν ναὶ ναί, οὒ οὔ· τὸ δὲ περισσὸν τούτων ἐκ τοῦ πονηροῦ
ἐστιν.

38 Ἠκούσατε ὅτι ἐρρέθη, Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ καὶ ὀδόντα
ἀντὶ ὀδόντος. **39** ἐγὼ δὲ λέγω ὑμῖν μὴ ἀντιστῆναι τῷ πονηρῷ· ἀλλ'
ὅστις σε ῥαπίζει εἰς τὴν δεξιὰν σιαγόνα [σου], στρέψον αὐτῷ καὶ τὴν
ἄλλην· **40** καὶ τῷ θέλοντί σοι κριθῆναι καὶ τὸν χιτῶνά σου λαβεῖν,
ἄφες αὐτῷ καὶ τὸ ἱμάτιον· **41** καὶ ὅστις σε ἀγγαρεύσει μίλιον ἕν,
ὕπαγε μετ' αὐτοῦ δύο. **42** τῷ αἰτοῦντί σε δός, καὶ τὸν θέλοντα ἀπὸ σοῦ
δανίσασθαι μὴ ἀποστραφῇς.

43 Ἠκούσατε ὅτι ἐρρέθη, Ἀγαπήσεις τὸν πλησίον σου καὶ μισήσεις
τὸν ἐχθρόν σου. **44** ἐγὼ δὲ λέγω ὑμῖν, ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν καὶ
προσεύχεσθε ὑπὲρ τῶν διωκόντων ὑμᾶς, **45** ὅπως γένησθε υἱοὶ τοῦ
πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ

πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους. 46 ἐὰν
γὰρ ἀγαπήσητε τοὺς ἀγαπῶντας ὑμᾶς, τίνα μισθὸν ἔχετε; οὐχὶ καὶ οἱ
τελῶναι τὸ αὐτὸ ποιοῦσιν; 47 καὶ ἐὰν ἀσπάσησθε τοὺς ἀδελφοὺς ὑμῶν
μόνον, τί περισσὸν ποιεῖτε; οὐχὶ καὶ οἱ ἐθνικοὶ τὸ αὐτὸ ποιοῦσιν;
48 Ἔσεσθε οὖν ὑμεῖς τέλειοι ὡς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός
ἐστιν.

6 Προσέχετε [δὲ] τὴν δικαιοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν
ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς· εἰ δὲ μήγε, μισθὸν οὐκ ἔχετε παρὰ
τῷ πατρὶ ὑμῶν τῷ ἐν τοῖς οὐρανοῖς.

2 Ὅταν οὖν ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ
οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς ῥύμαις, ὅπως
δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων· ἀμὴν λέγω ὑμῖν, ἀπέχουσιν τὸν μισθὸν
αὐτῶν. 3 σοῦ δὲ ποιοῦντος ἐλεημοσύνην μὴ γνώτω ἡ ἀριστερά σου τί
ποιεῖ ἡ δεξιά σου, 4 ὅπως ᾖ σου ἡ ἐλεημοσύνη ἐν τῷ κρυπτῷ· καὶ ὁ
πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ [αὐτὸς] ἀποδώσει σοι.

5 Καὶ ὅταν προσεύχησθε, οὐκ ἔσεσθε ὡς οἱ ὑποκριταί· ὅτι φιλοῦσιν
ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς γωνίαις τῶν πλατειῶν ἑστῶτες
προσεύχεσθαι, ὅπως φανῶσιν τοῖς ἀνθρώποις· ἀμὴν λέγω ὑμῖν,
ἀπέχουσιν τὸν μισθὸν αὐτῶν. 6 σὺ δὲ ὅταν προσεύχῃ, εἴσελθε εἰς τὸ
ταμεῖόν σου καὶ κλείσας τὴν θύραν σου πρόσευξαι τῷ πατρί σου τῷ
ἐν τῷ κρυπτῷ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυπτῷ ἀποδώσει σοι.
7 Προσευχόμενοι δὲ μὴ βατταλογήσητε ὥσπερ οἱ ἐθνικοί, δοκοῦσιν
γὰρ ὅτι ἐν τῇ πολυλογίᾳ αὐτῶν εἰσακουσθήσονται. 8 μὴ οὖν ὁμοιωθῆτε
αὐτοῖς, οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν ὧν χρείαν ἔχετε πρὸ τοῦ ὑμᾶς αἰτῆσαι
αὐτόν. 9 Οὕτως οὖν προσεύχεσθε ὑμεῖς·

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς,
ἁγιασθήτω τὸ ὄνομά σου,
10 ἐλθέτω ἡ βασιλεία σου,
γενηθήτω τὸ θέλημά σου,
ὡς ἐν οὐρανῷ καὶ ἐπὶ γῆς.
11 Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον·
12 καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν,
ὡς καὶ ἡμεῖς ἀφήκαμεν τοῖς ὀφειλέταις ἡμῶν·
13 καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν,
ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

14 Ἐὰν γὰρ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει
καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος· 15 ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις,
οὐδὲ ὁ πατὴρ ὑμῶν ἀφήσει τὰ παραπτώματα ὑμῶν.

16 Ὅταν δὲ νηστεύητε, μὴ γίνεσθε ὡς οἱ ὑποκριταὶ σκυθρωποί,
ἀφανίζουσιν γὰρ τὰ πρόσωπα αὐτῶν ὅπως φανῶσιν τοῖς ἀνθρώποις
νηστεύοντες· ἀμὴν λέγω ὑμῖν, ἀπέχουσιν τὸν μισθὸν αὐτῶν. 17 σὺ δὲ
νηστεύων ἄλειψαί σου τὴν κεφαλὴν καὶ τὸ πρόσωπόν σου νίψαι,
18 ὅπως μὴ φανῇς τοῖς ἀνθρώποις νηστεύων ἀλλὰ τῷ πατρί σου τῷ ἐν
τῷ κρυφαίῳ· καὶ ὁ πατήρ σου ὁ βλέπων ἐν τῷ κρυφαίῳ ἀποδώσει σοι.
19 Μὴ θησαυρίζετε ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς, ὅπου σὴς καὶ
βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται διορύσσουσιν καὶ κλέπτουσιν·
20 θησαυρίζετε δὲ ὑμῖν θησαυροὺς ἐν οὐρανῷ, ὅπου οὔτε σὴς οὔτε
βρῶσις ἀφανίζει, καὶ ὅπου κλέπται οὐ διορύσσουσιν οὐδὲ κλέπτουσιν·
21 ὅπου γάρ ἐστιν ὁ θησαυρός σου, ἐκεῖ ἔσται καὶ ἡ καρδία σου.
22 Ὁ λύχνος τοῦ σώματός ἐστιν ὁ ὀφθαλμός. ἐὰν οὖν ᾖ ὁ ὀφθαλμός
σου ἁπλοῦς, ὅλον τὸ σῶμά σου φωτεινὸν ἔσται· 23 ἐὰν δὲ ὁ ὀφθαλμός
σου πονηρὸς ᾖ, ὅλον τὸ σῶμά σου σκοτεινὸν ἔσται. εἰ οὖν τὸ φῶς τὸ ἐν
σοὶ σκότος ἐστίν, τὸ σκότος πόσον.
24 Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει
καὶ τὸν ἕτερον ἀγαπήσει, ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου
καταφρονήσει· οὐ δύνασθε θεῷ δουλεύειν καὶ μαμωνᾷ.
25 Διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε [ἢ
τί πίητε], μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε· οὐχὶ ἡ ψυχὴ πλεῖόν
ἐστιν τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος; 26 ἐμβλέψατε εἰς τὰ
πετεινὰ τοῦ οὐρανοῦ ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν οὐδὲ
συνάγουσιν εἰς ἀποθήκας, καὶ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τρέφει αὐτά·
οὐχ ὑμεῖς μᾶλλον διαφέρετε αὐτῶν; 27 τίς δὲ ἐξ ὑμῶν μεριμνῶν δύναται
προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα; 28 καὶ περὶ ἐνδύματος
τί μεριμνᾶτε; καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ πῶς αὐξάνουσιν· οὐ
κοπιῶσιν οὐδὲ νήθουσιν· 29 λέγω δὲ ὑμῖν ὅτι οὐδὲ Σολομὼν ἐν πάσῃ
τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων. 30 εἰ δὲ τὸν χόρτον τοῦ
ἀγροῦ σήμερον ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ θεὸς οὕτως
ἀμφιέννυσιν, οὐ πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; 31 μὴ οὖν
μεριμνήσητε λέγοντες, Τί φάγωμεν; ἤ, Τί πίωμεν; ἤ, Τί περιβαλώμεθα;
32 πάντα γὰρ ταῦτα τὰ ἔθνη ἐπιζητοῦσιν· οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν ὁ
οὐράνιος ὅτι χρῄζετε τούτων ἁπάντων. 33 ζητεῖτε δὲ πρῶτον τὴν
βασιλείαν καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ ταῦτα πάντα προστεθήσεται
ὑμῖν. 34 μὴ οὖν μεριμνήσητε εἰς τὴν αὔριον, ἡ γὰρ αὔριον μεριμνήσει
αὐτῆς· ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς.
7 Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε· 2 ἐν ᾧ γὰρ κρίματι κρίνετε
κριθήσεσθε, καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε μετρηθήσεται ὑμῖν. 3 τί δὲ βλέπεις

τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ ἐν τῷ σῷ ὀφθαλμῷ
δοκὸν οὐ κατανοεῖς; 4 ἢ πῶς ἐρεῖς τῷ ἀδελφῷ σου, Ἄφες ἐκβάλω τὸ
κάρφος ἐκ τοῦ ὀφθαλμοῦ σου, καὶ ἰδοὺ ἡ δοκὸς ἐν τῷ ὀφθαλμῷ σοῦ;
5 ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σοῦ, καὶ τότε
διαβλέψεις ἐκβαλεῖν τὸ κάρφος ἐκ τοῦ ὀφθαλμοῦ τοῦ ἀδελφοῦ σου.
6 Μὴ δῶτε τὸ ἅγιον τοῖς κυσίν, μηδὲ βάλητε τοὺς μαργαρίτας ὑμῶν
ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσουσιν αὐτοὺς ἐν τοῖς ποσὶν
αὐτῶν καὶ στραφέντες ῥήξωσιν ὑμᾶς.

7 Αἰτεῖτε, καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ
ἀνοιγήσεται ὑμῖν. 8 πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει
καὶ τῷ κρούοντι ἀνοιγήσεται. 9 ἢ τίς ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃν
αἰτήσει ὁ υἱὸς αὐτοῦ ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ; 10 ἢ καὶ ἰχθὺν
αἰτήσει, μὴ ὄφιν ἐπιδώσει αὐτῷ; 11 εἰ οὖν ὑμεῖς πονηροὶ ὄντες οἴδατε
δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ πατὴρ ὑμῶν
ὁ ἐν τοῖς οὐρανοῖς δώσει ἀγαθὰ τοῖς αἰτοῦσιν αὐτόν. 12 Πάντα οὖν
ὅσα ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, οὕτως καὶ ὑμεῖς ποιεῖτε
αὐτοῖς· οὗτος γάρ ἐστιν ὁ νόμος καὶ οἱ προφῆται.

13 Εἰσέλθατε διὰ τῆς στενῆς πύλης· ὅτι πλατεῖα ἡ πύλη καὶ
εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ πολλοί εἰσιν οἱ
εἰσερχόμενοι δι᾽ αὐτῆς· 14 τί στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ
ἀπάγουσα εἰς τὴν ζωήν, καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν.

15 Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς
ἐν ἐνδύμασιν προβάτων, ἔσωθεν δέ εἰσιν λύκοι ἅρπαγες. 16 ἀπὸ τῶν
καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς· μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν
σταφυλὰς ἢ ἀπὸ τριβόλων σῦκα; 17 οὕτως πᾶν δένδρον ἀγαθὸν καρποὺς
καλοὺς ποιεῖ, τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ. 18 οὐ
δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν
καρποὺς καλοὺς ποιεῖν. 19 πᾶν δένδρον μὴ ποιοῦν καρπὸν καλὸν
ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται. 20 ἄρα γε ἀπὸ τῶν καρπῶν αὐτῶν
ἐπιγνώσεσθε αὐτούς.

21 Οὐ πᾶς ὁ λέγων μοι, Κύριε κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν
τῶν οὐρανῶν, ἀλλ᾽ ὁ ποιῶν τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς
οὐρανοῖς. 22 πολλοὶ ἐροῦσίν μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε κύριε, οὐ
τῷ σῷ ὀνόματι ἐπροφητεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δαιμόνια
ἐξεβάλομεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις πολλὰς ἐποιήσαμεν; 23 καὶ
τότε ὁμολογήσω αὐτοῖς ὅτι Οὐδέποτε ἔγνων ὑμᾶς· ἀποχωρεῖτε ἀπ᾽ ἐμοῦ
οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

24 Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους καὶ ποιεῖ αὐτοὺς ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησεν αὐτοῦ τὴν οἰκίαν ἐπὶ τὴν πέτραν· 25 καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέπεσαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσεν, τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν. 26 καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους καὶ μὴ ποιῶν αὐτοὺς ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησεν αὐτοῦ τὴν οἰκίαν ἐπὶ τὴν ἄμμον.

27 καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ καὶ ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέκοψαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ ἔπεσεν, καὶ ἦν ἡ πτῶσις αὐτῆς μεγάλη.

28 Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ· ἦν γὰρ διδάσκων αὐτοὺς ὡς ἐξουσίαν ἔχων καὶ οὐχ ὡς οἱ γραμματεῖς αὐτῶν.

Лк. 9, 28–36

28 Преображение Иисуса

28 Ἐγένετο δὲ μετὰ τοὺς λόγους τούτους ὡσεὶ ἡμέραι ὀκτὼ [καὶ] παραλαβὼν Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι. 29 καὶ ἐγένετο ἐν τῷ προσεύχεσθαι αὐτὸν τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων.
30 καὶ ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωϋσῆς καὶ Ἠλίας, 31 οἳ ὀφθέντες ἐν δόξῃ ἔλεγον τὴν ἔξοδον αὐτοῦ ἣν ἤμελλεν πληροῦν ἐν Ἰερουσαλήμ. 32 ὁ δὲ Πέτρος καὶ οἱ σὺν αὐτῷ ἦσαν βεβαρημένοι ὕπνῳ· διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ. 33 καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ' αὐτοῦ εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν, Ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι, καὶ ποιήσωμεν σκηνὰς τρεῖς, μίαν σοὶ καὶ μίαν Μωϋσεῖ καὶ μίαν Ἠλίᾳ, μὴ εἰδὼς ὃ λέγει. 34 ταῦτα δὲ αὐτοῦ λέγοντος ἐγένετο νεφέλη καὶ ἐπεσκίαζεν αὐτούς· ἐφοβήθησαν δὲ ἐν τῷ εἰσελθεῖν αὐτοὺς εἰς τὴν νεφέλην. 35 καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης λέγουσα, Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἐκλελεγμένος*, αὐτοῦ ἀκούετε. 36 καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν εὑρέθη Ἰησοῦς μόνος. καὶ αὐτοὶ ἐσίγησαν καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν ὧν ἑώρακαν.

---

* Вариант: ἀγαπητός.

Мк. 14–15; 16, 1–8

14. 1 Помазание Иисуса драгоценным миром. 10 Вечеря Господня; хлеб и вино. 26 Предсказание об отречении Петра. 32 Молитва в Гефсимании. 43 Предательство Иуды; бегство учеников; 53 Иисус пред первосвященниками и синедрионом; отречение Петра.

15. 1 Иисус пред Пилатом; «распни его». 16 Бичевание, насмешки; Голгофа. 22. Смерть на кресте и ее свидетели. 42 Погребение Иисуса.

16. 1 Жены у пустого гроба.

14 Ἦν δὲ τὸ πάσχα καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας. καὶ ἐζήτουν
οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς πῶς αὐτὸν ἐν δόλῳ κρατήσαντες
ἀποκτείνωσιν· 2 ἔλεγον γάρ, Μὴ ἐν τῇ ἑορτῇ, μήποτε ἔσται θόρυβος
τοῦ λαοῦ.
3 Καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ
κατακειμένου αὐτοῦ ἦλθεν γυνὴ ἔχουσα ἀλάβαστρον μύρου νάρδου
πιστικῆς πολυτελοῦς· συντρίψασα τὴν ἀλάβαστρον κατέχεεν αὐτοῦ
τῆς κεφαλῆς. 4 ἦσαν δέ τινες ἀγανακτοῦντες πρὸς ἑαυτούς, Εἰς τί ἡ
ἀπώλεια αὕτη τοῦ μύρου γέγονεν; 5 ἠδύνατο γὰρ τοῦτο τὸ μύρον
πραθῆναι ἐπάνω δηναρίων τριακοσίων καὶ δοθῆναι τοῖς πτωχοῖς· καὶ
ἐνεβριμῶντο αὐτῇ. 6 ὁ δὲ Ἰησοῦς εἶπεν, Ἄφετε αὐτήν· τί αὐτῇ κόπους
παρέχετε; καλὸν ἔργον ἠργάσατο ἐν ἐμοί. 7 πάντοτε γὰρ τοὺς πτωχοὺς
ἔχετε μεθ' ἑαυτῶν, καὶ ὅταν θέλητε δύνασθε αὐτοῖς εὖ ποιῆσαι, ἐμὲ δὲ
οὐ πάντοτε ἔχετε. 8 ὃ ἔσχεν ἐποίησεν· προέλαβεν μυρίσαι τὸ σῶμά
μου εἰς τὸν ἐνταφιασμόν. 9 ἀμὴν δὲ λέγω ὑμῖν, ὅπου ἐὰν κηρυχθῇ τὸ
εὐαγγέλιον εἰς ὅλον τὸν κόσμον, καὶ ὃ ἐποίησεν αὕτη λαληθήσεται
εἰς μνημόσυνον αὐτῆς.
10 Καὶ Ἰούδας Ἰσκαριὼθ ὁ εἷς τῶν δώδεκα ἀπῆλθεν πρὸς τοὺς
ἀρχιερεῖς ἵνα αὐτὸν παραδοῖ [αὐτοῖς]. 11 οἱ δὲ ἀκούσαντες ἐχάρησαν
καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύριον δοῦναι. καὶ ἐζήτει πῶς αὐτὸν
εὐκαίρως παραδοῖ.
12 Καὶ τῇ πρώτῃ ἡμέρᾳ τῶν ἀζύμων, ὅτε τὸ πάσχα ἔθυον, λέγουσιν
αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, Ποῦ θέλεις ἀπελθόντες ἑτοιμάσωμεν ἵνα φάγης
τὸ πάσχα; 13 καὶ ἀποστέλλει δύο τῶν μαθητῶν αὐτοῦ καὶ λέγει αὐτοῖς,
Ὑπάγετε εἰς τὴν πόλιν, καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος κεράμιον ὕδατος
βαστάζων· ἀκολουθήσατε αὐτῷ, 14 καὶ ὅπου ἐὰν εἰσέλθῃ εἴπατε τῷ

οἰκοδεσπότῃ ὅτι Ὁ διδάσκαλος λέγει, Ποῦ ἐστιν τὸ κατάλυμά μου
ὅπου τὸ πάσχα μετὰ τῶν μαθητῶν μου φάγω; 15 καὶ αὐτὸς ὑμῖν δείξει
ἀνάγαιον μέγα ἐστρωμένον ἕτοιμον· καὶ ἐκεῖ ἑτοιμάσατε ἡμῖν. 16 καὶ
ἐξῆλθον οἱ μαθηταὶ καὶ ἦλθον εἰς τὴν πόλιν καὶ εὗρον καθὼς εἶπεν
αὐτοῖς, καὶ ἡτοίμασαν τὸ πάσχα. 17 Καὶ ὀψίας γενομένης ἔρχεται
μετὰ τῶν δώδεκα. 18 καὶ ἀνακειμένων αὐτῶν καὶ ἐσθιόντων ὁ Ἰησοῦς
εἶπεν, Ἀμὴν λέγω ὑμῖν ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με, ὁ ἐσθίων μετ᾽
ἐμοῦ. 19 ἤρξαντο λυπεῖσθαι καὶ λέγειν αὐτῷ εἷς κατὰ εἷς, Μήτι ἐγώ;
20 ὁ δὲ εἶπεν αὐτοῖς, Εἷς [ἐκ] τῶν δώδεκα, ὁ ἐμβαπτόμενος μετ᾽ ἐμοῦ
εἰς τὸ τρύβλιον. 21 ὅτι ὁ μὲν υἱὸς τοῦ ἀνθρώπου ὑπάγει καθὼς γέγραπται
περὶ αὐτοῦ, οὐαὶ δὲ τῷ ἀνθρώπῳ ἐκείνῳ δι᾽ οὗ ὁ υἱὸς τοῦ ἀνθρώπου
παραδίδοται· καλὸν αὐτῷ εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος.

22 Καὶ ἐσθιόντων αὐτῶν λαβὼν ἄρτον εὐλογήσας ἔκλασεν καὶ
ἔδωκεν αὐτοῖς καὶ εἶπεν, Λάβετε, τοῦτό ἐστιν τὸ σῶμά μου. 23 καὶ
λαβὼν ποτήριον εὐχαριστήσας ἔδωκεν αὐτοῖς, καὶ ἔπιον ἐξ αὐτοῦ
πάντες. 24 καὶ εἶπεν αὐτοῖς, Τοῦτό ἐστιν τὸ αἷμά μου τῆς διαθήκης τὸ
ἐκχυννόμενον ὑπὲρ πολλῶν· 25 ἀμὴν λέγω ὑμῖν ὅτι οὐκέτι οὐ μὴ πίω
ἐκ τοῦ γενήματος τῆς ἀμπέλου ἕως τῆς ἡμέρας ἐκείνης ὅταν αὐτὸ
πίνω καινὸν ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ. 26 Καὶ ὑμνήσαντες ἐξῆλθον εἰς
τὸ Ὄρος τῶν Ἐλαιῶν.

27 Καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς ὅτι Πάντες σκανδαλισθήσεσθε, ὅτι
γέγραπται,

Πατάξω τὸν ποιμένα,
καὶ τὰ πρόβατα διασκορπισθήσονται·

28 ἀλλὰ μετὰ τὸ ἐγερθῆναί με προάξω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.
29 ὁ δὲ Πέτρος ἔφη αὐτῷ, Εἰ καὶ πάντες σκανδαλισθήσονται, ἀλλ᾽ οὐκ
ἐγώ. 30 καὶ λέγει αὐτῷ ὁ Ἰησοῦς, Ἀμὴν λέγω σοι ὅτι σὺ σήμερον
ταύτῃ τῇ νυκτὶ πρὶν ἢ δὶς ἀλέκτορα φωνῆσαι τρίς με ἀπαρνήσῃ. 31 ὁ δὲ
ἐκπερισσῶς ἐλάλει, Ἐὰν δέῃ με συναποθανεῖν σοι, οὐ μή σε
ἀπαρνήσομαι. ὡσαύτως δὲ καὶ πάντες ἔλεγον.

32 Καὶ ἔρχονται εἰς χωρίον οὗ τὸ ὄνομα Γεθσημανί, καὶ λέγει
τοῖς μαθηταῖς αὐτοῦ, Καθίσατε ὧδε ἕως προσεύξωμαι. 33 καὶ
παραλαμβάνει τὸν Πέτρον καὶ [τὸν] Ἰάκωβον καὶ [τὸν] Ἰωάννην μετ᾽
αὐτοῦ, καὶ ἤρξατο ἐκθαμβεῖσθαι καὶ ἀδημονεῖν 34 καὶ λέγει αὐτοῖς,
Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε καὶ γρηγορεῖτε.
35 καὶ προελθὼν μικρὸν ἔπιπτεν ἐπὶ τῆς γῆς, καὶ προσηύχετο ἵνα εἰ
δυνατόν ἐστιν παρέλθῃ ἀπ᾽ αὐτοῦ ἡ ὥρα, 36 καὶ ἔλεγεν, Αββα ὁ πατήρ,

πάντα δυνατά σοι· παρένεγκε τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· ἀλλ' οὐ τί
ἐγὼ θέλω ἀλλὰ τί σύ. 37 καὶ ἔρχεται καὶ εὑρίσκει αὐτοὺς καθεύδοντας,
καὶ λέγει τῷ Πέτρῳ, Σίμων, καθεύδεις; οὐκ ἴσχυσας μίαν ὥραν
γρηγορῆσαι; 38 γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ ἔλθητε εἰς
πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον ἡ δὲ σὰρξ ἀσθενής. 39 καὶ πάλιν
ἀπελθὼν προσηύξατο τὸν αὐτὸν λόγον εἰπών. 40 καὶ πάλιν ἐλθὼν εὗρεν
αὐτοὺς καθεύδοντας, ἦσαν γὰρ αὐτῶν οἱ ὀφθαλμοὶ καταβαρυνόμενοι,
καὶ οὐκ ᾔδεισαν τί ἀποκριθῶσιν αὐτῷ. 41 καὶ ἔρχεται τὸ τρίτον καὶ
λέγει αὐτοῖς, Καθεύδετε τὸ λοιπὸν καὶ ἀναπαύεσθε; ἀπέχει· ἦλθεν ἡ
ὥρα, ἰδοὺ παραδίδοται ὁ υἱὸς τοῦ ἀνθρώπου εἰς τὰς χεῖρας τῶν
ἁμαρτωλῶν. 42 ἐγείρεσθε ἄγωμεν· ἰδοὺ ὁ παραδιδούς με ἤγγικεν.
43 Καὶ εὐθὺς ἔτι αὐτοῦ λαλοῦντος παραγίνεται Ἰούδας εἷς τῶν
δώδεκα καὶ μετ' αὐτοῦ ὄχλος μετὰ μαχαιρῶν καὶ ξύλων παρὰ τῶν
ἀρχιερέων καὶ τῶν γραμματέων καὶ τῶν πρεσβυτέρων. 44 δεδώκει δὲ ὁ
παραδιδοὺς αὐτὸν σύσσημον αὐτοῖς λέγων, Ὃν ἂν φιλήσω αὐτός ἐστιν·
κρατήσατε αὐτὸν καὶ ἀπάγετε ἀσφαλῶς. 45 καὶ ἐλθὼν εὐθὺς προσελθὼν
αὐτῷ λέγει, Ῥαββί, καὶ κατεφίλησεν αὐτόν. 46 οἱ δὲ ἐπέβαλον τὰς
χεῖρας αὐτῷ καὶ ἐκράτησαν αὐτόν. 47 εἷς δέ [τις] τῶν παρεστηκότων
σπασάμενος τὴν μάχαιραν ἔπαισεν τὸν δοῦλον τοῦ ἀρχιερέως καὶ
ἀφεῖλεν αὐτοῦ τὸ ὠτάριον. 48 καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν αὐτοῖς,
Ὡς ἐπὶ λῃστὴν ἐξήλθατε μετὰ μαχαιρῶν καὶ ξύλων συλλαβεῖν με;
49 καθ' ἡμέραν ἤμην πρὸς ὑμᾶς ἐν τῷ ἱερῷ διδάσκων καὶ οὐκ
ἐκρατήσατέ με· ἀλλ' ἵνα πληρωθῶσιν αἱ γραφαί. 50 καὶ ἀφέντες αὐτὸν
ἔφυγον πάντες.
51 Καὶ νεανίσκος τις συνηκολούθει αὐτῷ περιβεβλημένος σινδόνα
ἐπὶ γυμνοῦ, καὶ κρατοῦσιν αὐτόν· 52 ὁ δὲ καταλιπὼν τὴν σινδόνα
γυμνὸς ἔφυγεν.
53 Καὶ ἀπήγαγον τὸν Ἰησοῦν πρὸς τὸν ἀρχιερέα, καὶ συνέρχονται
πάντες οἱ ἀρχιερεῖς καὶ οἱ πρεσβύτεροι καὶ οἱ γραμματεῖς. 54 καὶ ὁ
Πέτρος ἀπὸ μακρόθεν ἠκολούθησεν αὐτῷ ἕως ἔσω εἰς τὴν αὐλὴν τοῦ
ἀρχιερέως, καὶ ἦν συγκαθήμενος μετὰ τῶν ὑπηρετῶν καὶ θερμαινόμενος
πρὸς τὸ φῶς. 55 οἱ δὲ ἀρχιερεῖς καὶ ὅλον τὸ συνέδριον ἐζήτουν κατὰ
τοῦ Ἰησοῦ μαρτυρίαν εἰς τὸ θανατῶσαι αὐτόν, καὶ οὐχ ηὕρισκον·
56 πολλοὶ γὰρ ἐψευδομαρτύρουν κατ' αὐτοῦ, καὶ ἴσαι αἱ μαρτυρίαι
οὐκ ἦσαν. 57 καί τινες ἀναστάντες ἐψευδομαρτύρουν κατ' αὐτοῦ
λέγοντες 58 ὅτι Ἡμεῖς ἠκούσαμεν αὐτοῦ λέγοντος ὅτι Ἐγὼ καταλύσω
τὸν ναὸν τοῦτον τὸν χειροποίητον καὶ διὰ τριῶν ἡμερῶν ἄλλον

ἀχειροποίητον οἰκοδομήσω· 59 καὶ οὐδὲ οὕτως ἴση ἦν ἡ μαρτυρία αὐτῶν.
60 καὶ ἀναστὰς ὁ ἀρχιερεὺς εἰς μέσον ἐπηρώτησεν τὸν Ἰησοῦν λέγων,
Οὐκ ἀποκρίνῃ οὐδέν; τί οὗτοί σου καταμαρτυροῦσιν; 61 ὁ δὲ ἐσιώπα
καὶ οὐκ ἀπεκρίνατο οὐδέν. πάλιν ὁ ἀρχιερεὺς ἐπηρώτα αὐτὸν καὶ
λέγει αὐτῷ, Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ εὐλογητοῦ; 62 ὁ δὲ Ἰησοῦς
εἶπεν, Ἐγώ εἰμι,

καὶ *ὄψεσθε τὸν υἱὸν τοῦ ἀνθρώπου*
ἐκ δεξιῶν καθήμενον τῆς δυνάμεως
καὶ ἐρχόμενον μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ.

63 ὁ δὲ ἀρχιερεὺς διαρρήξας τοὺς χιτῶνας αὐτοῦ λέγει, Τί ἔτι
χρείαν ἔχομεν μαρτύρων; ἠκούσατε τῆς βλασφημίας· τί ὑμῖν φαίνεται;
οἱ δὲ πάντες κατέκριναν αὐτὸν ἔνοχον εἶναι θανάτου. 64 Καὶ ἤρξαντό
τινες ἐμπτύειν αὐτῷ καὶ περικαλύπτειν αὐτοῦ τὸ πρόσωπον καὶ
κολαφίζειν αὐτὸν καὶ λέγειν αὐτῷ, Προφήτευσον, καὶ οἱ ὑπηρέται
ῥαπίσμασιν αὐτὸν ἔλαβον.

66 Καὶ ὄντος τοῦ Πέτρου κάτω ἐν τῇ αὐλῇ ἔρχεται μία τῶν
παιδισκῶν τοῦ ἀρχιερέως, 67 καὶ ἰδοῦσα τὸν Πέτρον θερμαινόμενον
ἐμβλέψασα αὐτῷ λέγει, Καὶ σὺ μετὰ τοῦ Ναζαρηνοῦ ἦσθα τοῦ Ἰησοῦ.
68 ὁ δὲ ἠρνήσατο λέγων, Οὔτε οἶδα οὔτε ἐπίσταμαι σὺ τί λέγεις. καὶ
ἐξῆλθεν ἔξω εἰς τὸ προαύλιον[· καὶ ἀλέκτωρ ἐφώνησεν]. 69 καὶ ἡ
παιδίσκη ἰδοῦσα αὐτὸν ἤρξατο πάλιν λέγειν τοῖς παρεστῶσιν ὅτι Οὗτος
ἐξ αὐτῶν ἐστιν. 70 ὁ δὲ πάλιν ἠρνεῖτο. καὶ μετὰ μικρὸν πάλιν οἱ
παρεστῶτες ἔλεγον τῷ Πέτρῳ, Ἀληθῶς ἐξ αὐτῶν εἶ, καὶ γὰρ Γαλιλαῖος
εἶ. 71 ὁ δὲ ἤρξατο ἀναθεματίζειν καὶ ὀμνύναι ὅτι Οὐκ οἶδα τὸν
ἄνθρωπον τοῦτον ὃν λέγετε. 72 καὶ εὐθὺς ἐκ δευτέρου ἀλέκτωρ
ἐφώνησεν. καὶ ἀνεμνήσθη ὁ Πέτρος τὸ ῥῆμα ὡς εἶπεν αὐτῷ ὁ Ἰησοῦς ὅτι
Πρὶν ἀλέκτορα φωνῆσαι δὶς τρίς με ἀπαρνήσῃ· καὶ ἐπιβαλὼν ἔκλαιεν.

15 Καὶ εὐθὺς πρωῒ συμβούλιον ποιήσαντες οἱ ἀρχιερεῖς μετὰ τῶν
πρεσβυτέρων καὶ γραμματέων καὶ ὅλον τὸ συνέδριον δήσαντες τὸν
Ἰησοῦν ἀπήνεγκαν καὶ παρέδωκαν Πιλάτῳ. 2 καὶ ἐπηρώτα αὐτὸν ὁ
Πιλᾶτος, Σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; ὁ δὲ ἀποκριθεὶς αὐτῷ λέγει,
Σὺ λέγεις. 3 καὶ κατηγόρουν αὐτοῦ οἱ ἀρχιερεῖς πολλά. 4 ὁ δὲ Πιλᾶτος
πάλιν ἐπηρώτα αὐτὸν λέγων, Οὐκ ἀποκρίνῃ οὐδέν; ἴδε πόσα σου
κατηγοροῦσιν. 5 ὁ δὲ Ἰησοῦς οὐκέτι οὐδὲν ἀπεκρίθη, ὥστε θαυμάζειν
τὸν Πιλᾶτον.

6 Κατὰ δὲ ἑορτὴν ἀπέλυεν αὐτοῖς ἕνα δέσμιον ὃν παρῃτοῦντο.
7 ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ τῶν στασιαστῶν δεδεμένος οἵτινες

ἐν τῇ στάσει φόνον πεποιήκεισαν. 8 καὶ ἀναβὰς ὁ ὄχλος ἤρξατο
αἰτεῖσθαι καθὼς ἐποίει αὐτοῖς. 9 ὁ δὲ Πιλᾶτος ἀπεκρίθη αὐτοῖς λέγων,
Θέλετε ἀπολύσω ὑμῖν τὸν βασιλέα τῶν Ἰουδαίων; 10 ἐγίνωσκεν γὰρ
ὅτι διὰ φθόνον παραδεδώκεισαν αὐτὸν οἱ ἀρχιερεῖς. 11 οἱ δὲ ἀρχιερεῖς
ἀνέσεισαν τὸν ὄχλον ἵνα μᾶλλον τὸν Βαραββᾶν ἀπολύσῃ αὐτοῖς. 12 ὁ
δὲ Πιλᾶτος πάλιν ἀποκριθεὶς ἔλεγεν αὐτοῖς, Τί οὖν [θέλετε] ποιήσω
[ὃν λέγετε] τὸν βασιλέα τῶν Ἰουδαίων; 13 οἱ δὲ πάλιν ἔκραξαν,
Σταύρωσον αὐτόν. 14 ὁ δὲ Πιλᾶτος ἔλεγεν αὐτοῖς, Τί γὰρ ἐποίησεν
κακόν; οἱ δὲ περισσῶς ἔκραξαν, Σταύρωσον αὐτόν. 15 ὁ δὲ Πιλᾶτος
βουλόμενος τῷ ὄχλῳ τὸ ἱκανὸν ποιῆσαι ἀπέλυσεν αὐτοῖς τὸν Βαραββᾶν,
καὶ παρέδωκεν τὸν Ἰησοῦν φραγελλώσας ἵνα σταυρωθῇ.

16 Οἱ δὲ στρατιῶται ἀπήγαγον αὐτὸν ἔσω τῆς αὐλῆς, ὅ ἐστιν
πραιτώριον, καὶ συγκαλοῦσιν ὅλην τὴν σπεῖραν. 17 καὶ ἐνδιδύσκουσιν
αὐτὸν πορφύραν καὶ περιτιθέασιν αὐτῷ πλέξαντες ἀκάνθινον στέφανον·
18 καὶ ἤρξαντο ἀσπάζεσθαι αὐτόν, Χαῖρε, βασιλεῦ τῶν Ἰουδαίων· 19 καὶ
ἔτυπτον αὐτοῦ τὴν κεφαλὴν καλάμῳ καὶ ἐνέπτυον αὐτῷ, καὶ τιθέντες
τὰ γόνατα προσεκύνουν αὐτῷ. 20 καὶ ὅτε ἐνέπαιξαν αὐτῷ, ἐξέδυσαν
αὐτὸν τὴν πορφύραν καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια τὰ ἴδια. καὶ
ἐξάγουσιν αὐτὸν ἵνα σταυρώσουσιν αὐτόν.

21 Καὶ ἀγγαρεύουσιν παράγοντά τινα Σίμωνα Κυρηναῖον
ἐρχόμενον ἀπ' ἀγροῦ, τὸν πατέρα Ἀλεξάνδρου καὶ Ῥούφου, ἵνα ἄρῃ
τὸν σταυρὸν αὐτοῦ. 22 καὶ φέρουσιν αὐτὸν ἐπὶ τὸν Γολγοθᾶν τόπον, ὅ
ἐστιν μεθερμηνευόμενον Κρανίου Τόπος. 23 καὶ ἐδίδουν αὐτῷ
ἐσμυρνισμένον οἶνον, ὃς δὲ οὐκ ἔλαβεν. 24 καὶ σταυροῦσιν αὐτὸν

καὶ διαμερίζονται τὰ ἱμάτια αὐτοῦ,
βάλλοντες κλῆρον ἐπ' αὐτὰ τίς τί ἄρῃ.

25 ἦν δὲ ὥρα τρίτη καὶ ἐσταύρωσαν αὐτόν. 26 καὶ ἦν ἡ ἐπιγραφὴ
τῆς αἰτίας αὐτοῦ ἐπιγεγραμμένη, Ὁ βασιλεὺς τῶν Ἰουδαίων. 27 Καὶ
σὺν αὐτῷ σταυροῦσιν δύο λῃστάς, ἕνα ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων
αὐτοῦ. 29 Καὶ οἱ παραπορευόμενοι ἐβλασφήμουν αὐτὸν κινοῦντες τὰς
κεφαλὰς αὐτῶν καὶ λέγοντες, Οὐὰ ὁ καταλύων τὸν ναὸν καὶ οἰκοδομῶν
ἐν τρισὶν ἡμέραις, 30 σῶσον σεαυτὸν καταβὰς ἀπὸ τοῦ σταυροῦ.
31 ὁμοίως καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες πρὸς ἀλλήλους μετὰ τῶν
γραμματέων ἔλεγον, Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι·
32 ὁ Χριστὸς ὁ βασιλεὺς Ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, ἵνα
ἴδωμεν καὶ πιστεύσωμεν. καὶ οἱ συνεσταυρωμένοι σὺν αὐτῷ ὠνείδιζον
αὐτόν.

33 Καὶ γενομένης ὥρας ἕκτης σκότος ἐγένετο ἐφ' ὅλην τὴν γῆν ἕως
ὥρας ἐνάτης. 34 καὶ τῇ ἐνάτῃ ὥρᾳ ἐβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ,
Ελωι ελωι λεμα σαβαχθανι; ὅ ἐστιν μεθερμηνευόμενον Ὁ θεός μου ὁ
θεός μου, εἰς τί ἐγκατέλιπές με; 35 καί τινες τῶν παρεστώτων
ἀκούσαντες ἔλεγον, Ἴδε Ἠλίαν φωνεῖ. 36 δραμὼν δέ τις καὶ γεμίσας
σπόγγον ὄξους περιθεὶς καλάμῳ ἐπότιζεν αὐτόν, λέγων, Ἄφετε ἴδωμεν
εἰ ἔρχεται Ἠλίας καθελεῖν αὐτόν. 37 ὁ δὲ Ἰησοῦς ἀφεὶς φωνὴν μεγάλην
ἐξέπνευσεν. 38 Καὶ τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη εἰς δύο ἀπ'
ἄνωθεν ἕως κάτω. 39 Ἰδὼν δὲ ὁ κεντυρίων ὁ παρεστηκὼς ἐξ ἐναντίας
αὐτοῦ ὅτι οὕτως ἐξέπνευσεν εἶπεν, Ἀληθῶς οὗτος ὁ ἄνθρωπος υἱὸς
θεοῦ ἦν. 40 Ἦσαν δὲ καὶ γυναῖκες ἀπὸ μακρόθεν θεωροῦσαι, ἐν αἷς
καὶ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ Ἰακώβου τοῦ μικροῦ καὶ Ἰωσῆτος
μήτηρ καὶ Σαλώμη, 41 αἳ ὅτε ἦν ἐν τῇ Γαλιλαίᾳ ἠκολούθουν αὐτῷ καὶ
διηκόνουν αὐτῷ, καὶ ἄλλαι πολλαὶ αἱ συναναβᾶσαι αὐτῷ εἰς
Ἱεροσόλυμα.

42 Καὶ ἤδη ὀψίας γενομένης, ἐπεὶ ἦν παρασκευή, ὅ ἐστιν
προσάββατον, 43 ἐλθὼν Ἰωσὴφ [ὁ] ἀπὸ Ἁριμαθαίας εὐσχήμων
βουλευτής, ὃς καὶ αὐτὸς ἦν προσδεχόμενος τὴν βασιλείαν τοῦ θεοῦ,
τολμήσας εἰσῆλθεν πρὸς τὸν Πιλᾶτον καὶ ᾐτήσατο τὸ σῶμα τοῦ Ἰησοῦ.
44 ὁ δὲ Πιλᾶτος ἐθαύμασεν εἰ ἤδη τέθνηκεν, καὶ προσκαλεσάμενος
τὸν κεντυρίωνα ἐπηρώτησεν αὐτὸν εἰ πάλαι ἀπέθανεν· 45 καὶ γνοὺς
ἀπὸ τοῦ κεντυρίωνος ἐδωρήσατο τὸ πτῶμα τῷ Ἰωσήφ. 46 καὶ ἀγοράσας
σινδόνα καθελὼν αὐτὸν ἐνείλησεν τῇ σινδόνι καὶ ἔθηκεν αὐτὸν ἐν
μνημείῳ ὃ ἦν λελατομημένον ἐκ πέτρας, καὶ προσεκύλισεν λίθον ἐπὶ
τὴν θύραν τοῦ μνημείου. 47 ἡ δὲ Μαρία ἡ Μαγδαληνὴ καὶ Μαρία ἡ
Ἰωσῆτος ἐθεώρουν ποῦ τέθειται.

16 Καὶ διαγενομένου τοῦ σαββάτου Μαρία ἡ Μαγδαληνὴ καὶ
Μαρία ἡ Ἰακώβου καὶ Σαλώμη ἠγόρασαν ἀρώματα ἵνα ἐλθοῦσαι
ἀλείψωσιν αὐτόν. 2 καὶ λίαν πρωῒ τῇ μιᾷ τῶν σαββάτων ἔρχονται ἐπὶ
τὸ μνημεῖον ἀνατείλαντος τοῦ ἡλίου. 3 καὶ ἔλεγον πρὸς ἑαυτάς, Τίς
ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; 4 καὶ
ἀναβλέψασαι θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος, ἦν γὰρ μέγας
σφόδρα. 5 καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον εἶδον νεανίσκον καθήμενον
ἐν τοῖς δεξιοῖς περιβεβλημένον στολὴν λευκήν, καὶ ἐξεθαμβήθησαν.
6 ὁ δὲ λέγει αὐταῖς, Μὴ ἐκθαμβεῖσθε· Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν
τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε ὁ τόπος ὅπου ἔθηκαν
αὐτόν. 7 ἀλλὰ ὑπάγετε εἴπατε τοῖς μαθηταῖς αὐτοῦ καὶ τῷ Πέτρῳ ὅτι

Προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν
ὑμῖν. 8 καὶ ἐξελθοῦσαι ἔφυγον ἀπὸ τοῦ μνημείου, εἶχεν γὰρ αὐτὰς
τρόμος καὶ ἔκστασις· καὶ οὐδενὶ οὐδὲν εἶπαν, ἐφοβοῦντο γάρ.

ДЕЯНИЯ АПОСТОЛОВ (ΠΡΑΞΕΙΣ ΑΠΟΣΤΟΛΩΝ)

1, 1–12

1 Первая книга автора. 9 Иисус повелевает апостолам быть Его свидетелями и возносится на небо. 12 Они возвращаются в Иерусалим.

1 Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων, ὦ Θεόφιλε, ὧν
ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν 2 ἄχρι ἧς ἡμέρας ἐντειλάμενος
τοῖς ἀποστόλοις διὰ πνεύματος ἁγίου οὓς ἐξελέξατο ἀνελήμφθη· 3 οἷς
καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτὸν ἐν πολλοῖς
τεκμηρίοις, δι' ἡμερῶν τεσσαράκοντα ὀπτανόμενος αὐτοῖς καὶ λέγων
τὰ περὶ τῆς βασιλείας τοῦ θεοῦ. 4 καὶ συναλιζόμενος παρήγγειλεν
αὐτοῖς ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν
ἐπαγγελίαν τοῦ πατρὸς ἣν ἠκούσατέ μου· 5 ὅτι Ἰωάννης μὲν ἐβάπτισεν
ὕδατι, ὑμεῖς δὲ ἐν πνεύματι βαπτισθήσεσθε ἁγίῳ οὐ μετὰ πολλὰς
ταύτας ἡμέρας.

6 Οἱ μὲν οὖν συνελθόντες ἠρώτων αὐτὸν λέγοντες, Κύριε, εἰ ἐν τῷ
χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; 7 εἶπεν δὲ
πρὸς αὐτούς, Οὐχ ὑμῶν ἐστιν γνῶναι χρόνους ἢ καιροὺς οὓς ὁ πατὴρ
ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ· 8 ἀλλὰ λήμψεσθε δύναμιν ἐπελθόντος τοῦ
ἁγίου πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μου μάρτυρες ἔν τε Ἰερουσαλὴμ
καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ καὶ ἕως ἐσχάτου τῆς γῆς. 9 καὶ
ταῦτα εἰπὼν βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν
ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν. 10 καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν οὐρανὸν
πορευομένου αὐτοῦ, καὶ ἰδοὺ ἄνδρες δύο παρειστήκεισαν αὐτοῖς ἐν
ἐσθήσεσι λευκαῖς, 11 οἳ καὶ εἶπαν, Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε
βλέποντες εἰς τὸν οὐρανόν; οὗτος ὁ Ἰησοῦς ὁ ἀναλημφθεὶς ἀφ' ὑμῶν
εἰς τὸν οὐρανὸν οὕτως ἐλεύσεται ὃν τρόπον ἐθεάσασθε αὐτὸν
πορευόμενον εἰς τὸν οὐρανόν.

12 Τότε ὑπέστρεψαν εἰς Ἰερουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου
Ἐλαιῶνος, ὅ ἐστιν ἐγγὺς Ἰερουσαλὴμ σαββάτου ἔχον ὁδόν.

2, 1–4

1 Пятидесятница. Апостолы исполнены Духом Святым.

2 Καὶ ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς πεντηκοστῆς ἦσαν πάντες ὁμοῦ ἐπὶ τὸ αὐτό. **2** καὶ ἐγένετο ἄφνω ἐκ τοῦ οὐρανοῦ ἦχος ὥσπερ φερομένης πνοῆς βιαίας καὶ ἐπλήρωσεν ὅλον τὸν οἶκον οὗ ἦσαν καθήμενοι· **3** καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός, καὶ ἐκάθισεν ἐφ᾽ ἕνα ἕκαστον αὐτῶν, **4** καὶ ἐπλήσθησαν πάντες πνεύματος ἁγίου, καὶ ἤρξαντο λαλεῖν ἑτέραις γλώσσαις καθὼς τὸ πνεῦμα ἐδίδου ἀποφθέγγεσθαι αὐτοῖς.

ПОСЛАНИЯ АПОСТОЛОВ (ΑΠΟΣΤΟΛΩΝ ΕΠΙΣΤΟΛΑΙ)

ПЕРВОЕ СОБОРНОЕ ПОСЛАНИЕ СВ. АПОСТОЛА ПЕТРА

(ΠΕΤΡΟΥ ΠΡΩΤΗ)

3, 1–9

1 Наставление женам и мужьям. 8 «Будьте братолюбивы», «не воздавайте злом за зло... благословляйте».

3 Ὁμοίως [αἱ] γυναῖκες ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ἵνα καὶ εἴ τινες ἀπειθοῦσιν τῷ λόγῳ διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερδηθήσονται **2** ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν. **3** ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς τριχῶν καὶ περιθέσεως χρυσίων ἢ ἐνδύσεως ἱματίων κόσμος, **4** ἀλλ᾽ ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος ἐν τῷ ἀφθάρτῳ τοῦ πραέως καὶ ἡσυχίου πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ θεοῦ πολυτελές. **5** οὕτως γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες αἱ ἐλπίζουσαι εἰς θεὸν ἐκόσμουν ἑαυτάς, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, **6** ὡς Σάρρα ὑπήκουσεν τῷ Ἀβραάμ, κύριον αὐτὸν καλοῦσα· ἧς ἐγενήθητε τέκνα ἀγαθοποιοῦσαι καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν.

7 Οἱ ἄνδρες ὁμοίως συνοικοῦντες κατὰ γνῶσιν, ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ ἀπονέμοντες τιμήν, ὡς καὶ συγκληρονόμοις χάριτος ζωῆς, εἰς τὸ μὴ ἐγκόπτεσθαι τὰς προσευχὰς ὑμῶν.

8 Τὸ δὲ τέλος πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, ταπεινόφρονες, **9** μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ ἢ λοιδορίαν ἀντὶ λοιδορίας, τοὐναντίον δὲ εὐλογοῦντες, ὅτι εἰς τοῦτο ἐκλήθητε ἵνα εὐλογίαν κληρονομήσητε.

ПЕРВОЕ СОБОРНОЕ ПОСЛАНИЕ СВ. АПОСТОЛА ИОАННА БОГОСЛОВА

(ΙΩΑΝΝΟΥ ΠΡΩΤΗ)

1, 1–7

1 «О том, что мы видели и слышали, возвещаем». 5 Бог есть свет; ходите во свете.

1 Ὃ ἦν ἀπ' ἀρχῆς, ὃ ἀκηκόαμεν, ὃ ἑωράκαμεν τοῖς ὀφθαλμοῖς
ἡμῶν, ὃ ἐθεασάμεθα καὶ αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν, περὶ τοῦ λόγου
τῆς ζωῆς – 2 καὶ ἡ ζωὴ ἐφανερώθη, καὶ ἑωράκαμεν καὶ μαρτυροῦμεν
καὶ ἀπαγγέλλομεν ὑμῖν τὴν ζωὴν τὴν αἰώνιον ἥτις ἦν πρὸς τὸν πατέρα
καὶ ἐφανερώθη ἡμῖν – 3 ὃ ἑωράκαμεν καὶ ἀκηκόαμεν ἀπαγγέλλομεν
καὶ ὑμῖν, ἵνα καὶ ὑμεῖς κοινωνίαν ἔχητε μεθ' ἡμῶν. καὶ ἡ κοινωνία δὲ
ἡ ἡμετέρα μετὰ τοῦ πατρὸς καὶ μετὰ τοῦ υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ.
4 καὶ ταῦτα γράφομεν ἡμεῖς ἵνα ἡ χαρὰ ἡμῶν ᾖ πεπληρωμένη.

5 Καὶ ἔστιν αὕτη ἡ ἀγγελία ἣν ἀκηκόαμεν ἀπ' αὐτοῦ καὶ
ἀναγγέλλομεν ὑμῖν, ὅτι ὁ θεὸς φῶς ἐστιν καὶ σκοτία ἐν αὐτῷ οὐκ
ἔστιν οὐδεμία. 6 Ἐὰν εἴπωμεν ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ καὶ ἐν
τῷ σκότει περιπατῶμεν, ψευδόμεθα καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν·
7 ἐὰν δὲ ἐν τῷ φωτὶ περιπατῶμεν ὡς αὐτός ἐστιν ἐν τῷ φωτί, κοινωνίαν
ἔχομεν μετ' ἀλλήλων καὶ τὸ αἷμα Ἰησοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει
ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας.

2, 7–11, 15–21

7 «Кто любит брата своего, тот пребывает во свете».

2 ...7 Ἀγαπητοί, οὐκ ἐντολὴν καινὴν γράφω ὑμῖν, ἀλλ' ἐντολὴν
παλαιὰν ἣν εἴχετε ἀπ' ἀρχῆς· ἡ ἐντολὴ ἡ παλαιά ἐστιν ὁ λόγος ὃν
ἠκούσατε. 8 πάλιν ἐντολὴν καινὴν γράφω ὑμῖν, ὅ ἐστιν ἀληθὲς ἐν
αὐτῷ καὶ ἐν ὑμῖν, ὅτι ἡ σκοτία παράγεται καὶ τὸ φῶς τὸ ἀληθινὸν ἤδη
φαίνει. 9 ὁ λέγων ἐν τῷ φωτὶ εἶναι καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῶν ἐν τῇ
σκοτίᾳ ἐστὶν ἕως ἄρτι. 10 ὁ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ φωτὶ
μένει, καὶ σκάνδαλον ἐν αὐτῷ οὐκ ἔστιν· 11 ὁ δὲ μισῶν τὸν ἀδελφὸν
αὐτοῦ ἐν τῇ σκοτίᾳ ἐστὶν καὶ ἐν τῇ σκοτίᾳ περιπατεῖ, καὶ οὐκ οἶδεν
ποῦ ὑπάγει, ὅτι ἡ σκοτία ἐτύφλωσεν τοὺς ὀφθαλμοὺς αὐτοῦ.

15 «Не любите мира...» 18 Об антихристе.

15 Μὴ ἀγαπᾶτε τὸν κόσμον μηδὲ τὰ ἐν τῷ κόσμῳ. ἐάν τις ἀγαπᾷ τὸν κόσμον, οὐκ ἔστιν ἡ ἀγάπη τοῦ πατρὸς ἐν αὐτῷ· **16** ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ, ἡ ἐπιθυμία τῆς σαρκὸς καὶ ἡ ἐπιθυμία τῶν ὀφθαλμῶν καὶ ἡ ἀλαζονεία τοῦ βίου, οὐκ ἔστιν ἐκ τοῦ πατρὸς ἀλλὰ ἐκ τοῦ κόσμου ἐστίν. **17** καὶ ὁ κόσμος παράγεται καὶ ἡ ἐπιθυμία αὐτοῦ, ὁ δὲ ποιῶν τὸ θέλημα τοῦ θεοῦ μένει εἰς τὸν αἰῶνα.

18 Παιδία, ἐσχάτη ὥρα ἐστίν, καὶ καθὼς ἠκούσατε ὅτι ἀντίχριστος ἔρχεται, καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν· ὅθεν γινώσκομεν ὅτι ἐσχάτη ὥρα ἐστίν. **19** ἐξ ἡμῶν ἐξῆλθαν, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ ἐξ ἡμῶν ἦσαν, μεμενήκεισαν ἂν μεθ' ἡμῶν· ἀλλ' ἵνα φανερωθῶσιν ὅτι οὐκ εἰσὶν πάντες ἐξ ἡμῶν. **20** καὶ ὑμεῖς χρῖσμα ἔχετε ἀπὸ τοῦ ἁγίου, καὶ οἴδατε πάντες. **21** οὐκ ἔγραψα ὑμῖν ὅτι οὐκ οἴδατε τὴν ἀλήθειαν, ἀλλ' ὅτι οἴδατε αὐτήν, καὶ ὅτι πᾶν ψεῦδος ἐκ τῆς ἀληθείας οὐκ ἔστιν.

ПОСЛАНИЯ СВ. АПОСТОЛА ПАВЛА (ΠΑΥΛΟΥ ΕΠΙΣΤΟΛΑΙ)

ПОСЛАНИЕ К РИМЛЯНАМ (ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ)

8, 35–39

35 «Кто отлучит нас от любви Божией...»

8 ...35 τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ λιμὸς ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα; **36** καθὼς γέγραπται ὅτι

Ἕνεκεν σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν,
ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς.

37 ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς. **38** πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος οὔτε ζωὴ οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε ἐνεστῶτα οὔτε μέλλοντα οὔτε δυνάμεις **39** οὔτε ὕψωμα οὔτε βάθος οὔτε τις κτίσις ἑτέρα δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ θεοῦ τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν.

ПЕРВОЕ ПОСЛАНИЕ К КОРИНФЯНАМ

(ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ ΠΡΩΤΗ)

15

**1 Многие и различные свидетели воскресения Христова.
12 «Если Христос не воскрес..., то тщетна вера ваша». 35 «Как
воскреснут мертвые»? 50 «Мы все изменимся». 54 «Смерть!
Где твое жало»! «Труд ваш не тщетен».**

15 Γνωρίζω δὲ ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον ὃ εὐηγγελισάμην
ὑμῖν, ὃ καὶ παρελάβετε, ἐν ᾧ καὶ ἑστήκατε, **2** δι᾽ οὗ καὶ σῴζεσθε, τίνι
λόγῳ εὐηγγελισάμην ὑμῖν εἰ κατέχετε, ἐκτὸς εἰ μὴ εἰκῇ ἐπιστεύσατε.
3 παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις, ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς
ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς, **4** καὶ ὅτι ἐτάφη,
καὶ ὅτι ἐγήγερται τῇ ἡμέρᾳ τῇ τρίτῃ κατὰ τὰς γραφάς, **5** καὶ ὅτι ὤφθη
Κηφᾷ, εἶτα τοῖς δώδεκα· **6** ἔπειτα ὤφθη ἐπάνω πεντακοσίοις ἀδελφοῖς
ἐφάπαξ, ἐξ ὧν οἱ πλείονες μένουσιν ἕως ἄρτι, τινὲς δὲ ἐκοιμήθησαν·
7 ἔπειτα ὤφθη Ἰακώβῳ, εἶτα τοῖς ἀποστόλοις πᾶσιν· **8** ἔσχατον δὲ
πάντων ὡσπερεὶ τῷ ἐκτρώματι ὤφθη κἀμοί. **9** Ἐγὼ γάρ εἰμι ὁ ἐλάχιστος
τῶν ἀποστόλων, ὃς οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος, διότι ἐδίωξα
τὴν ἐκκλησίαν τοῦ θεοῦ· **10** χάριτι δὲ θεοῦ εἰμι ὅ εἰμι, καὶ ἡ χάρις
αὐτοῦ ἡ εἰς ἐμὲ οὐ κενὴ ἐγενήθη, ἀλλὰ περισσότερον αὐτῶν πάντων
ἐκοπίασα, οὐκ ἐγὼ δὲ ἀλλὰ ἡ χάρις τοῦ θεοῦ [ἡ] σὺν ἐμοί. **11.** εἴτε οὖν
ἐγὼ εἴτε ἐκεῖνοι, οὕτως κηρύσσομεν καὶ οὕτως ἐπιστεύσατε.

12 Εἰ δὲ Χριστὸς κηρύσσεται ὅτι ἐκ νεκρῶν ἐγήγερται, πῶς λέγουσιν
ἐν ὑμῖν τινες ὅτι ἀνάστασις νεκρῶν οὐκ ἔστιν; **13** εἰ δὲ ἀνάστασις
νεκρῶν οὐκ ἔστιν, οὐδὲ Χριστὸς ἐγήγερται· **14** εἰ δὲ Χριστὸς οὐκ
ἐγήγερται, κενὸν ἄρα [καὶ] τὸ κήρυγμα ἡμῶν, κενὴ καὶ ἡ πίστις ὑμῶν,
15 εὑρισκόμεθα δὲ καὶ ψευδομάρτυρες τοῦ θεοῦ, ὅτι ἐμαρτυρήσαμεν
κατὰ τοῦ θεοῦ ὅτι ἤγειρεν τὸν Χριστόν, ὃν οὐκ ἤγειρεν εἴπερ ἄρα
νεκροὶ οὐκ ἐγείρονται. **16** εἰ γὰρ νεκροὶ οὐκ ἐγείρονται, οὐδὲ Χριστὸς
ἐγήγερται· **17** εἰ δὲ Χριστὸς οὐκ ἐγήγερται, ματαία ἡ πίστις ὑμῶν, ἔτι
ἐστὲ ἐν ταῖς ἁμαρτίαις ὑμῶν. **18** ἄρα καὶ οἱ κοιμηθέντες ἐν Χριστῷ
ἀπώλοντο. **19** εἰ ἐν τῇ ζωῇ ταύτῃ ἐν Χριστῷ ἠλπικότες ἐσμὲν μόνον,
ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμέν.

20 Νυνὶ δὲ Χριστὸς ἐγήγερται ἐκ νεκρῶν, ἀπαρχὴ τῶν
κεκοιμημένων. **21** ἐπειδὴ γὰρ δι᾽ ἀνθρώπου θάνατος, καὶ δι᾽ ἀνθρώπου

ἀνάστασις νεκρων· 22 ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνῄσκουσιν,
οὕτως καὶ ἐν τῷ Χριστῷ πάντες ζῳοποιηθήσονται. 23 ἕκαστος δὲ ἐν τῷ
ἰδίῳ τάγματι· ἀπαρχὴ Χριστός, ἔπειτα οἱ τοῦ Χριστοῦ ἐν τῇ παρουσίᾳ
αὐτοῦ· 24 εἶτα τὸ τέλος, ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ θεῷ καὶ
πατρί, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν καὶ πᾶσαν ἐξουσίαν καὶ δύναμιν.
25 δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρι οὗ θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ
τοὺς πόδας αὐτοῦ. 26 ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος· πάντα
γὰρ ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ. 27 ὅταν δὲ εἴπῃ ὅτι πάντα
ὑποτέτακται, δῆλον ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. 28 ὅταν
δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε [καὶ] αὐτὸς ὁ υἱὸς ὑποταγήσεται τῷ
ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ θεὸς [τὰ] πάντα ἐν πᾶσιν.

29 Ἐπεὶ τί ποιήσουσιν οἱ βαπτιζόμενοι ὑπὲρ τῶν νεκρῶν; εἰ ὅλως
νεκροὶ οὐκ ἐγείρονται, τί καὶ βαπτίζονται ὑπὲρ αὐτῶν; 30 τί καὶ ἡμεῖς
κινδυνεύομεν πᾶσαν ὥραν; 31 καθ' ἡμέραν ἀποθνῄσκω, νὴ τὴν ὑμετέραν
καύχησιν, [ἀδελφοί,] ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν. 32 εἰ
κατὰ ἄνθρωπον ἐθηριομάχησα ἐν Ἐφέσῳ, τί μοι τὸ ὄφελος; εἰ νεκροὶ
οὐκ ἐγείρονται,

Φάγωμεν καὶ πίωμεν,
αὔριον γὰρ ἀποθνῄσκομεν.

33 μὴ πλανᾶσθε·

Φθείρουσιν ἤθη χρηστὰ ὁμιλίαι κακαί.

34 ἐκνήψατε δικαίως καὶ μὴ ἁμαρτάνετε, ἀγνωσίαν γὰρ θεοῦ τινες
ἔχουσιν· πρὸς ἐντροπὴν ὑμῖν λαλῶ.

35 Ἀλλὰ ἐρεῖ τις, Πῶς ἐγείρονται οἱ νεκροί; ποίῳ δὲ σώματι
ἔρχονται; 36 ἄφρων, σὺ ὃ σπείρεις οὐ ζῳοποιεῖται ἐὰν μὴ ἀποθάνῃ· 37
καὶ ὃ σπείρεις, οὐ τὸ σῶμα τὸ γενησόμενον σπείρεις ἀλλὰ γυμνὸν
κόκκον εἰ τύχοι σίτου ἤ τινος τῶν λοιπῶν· 38 ὁ δὲ θεὸς δίδωσιν αὐτῷ
σῶμα καθὼς ἠθέλησεν, καὶ ἑκάστῳ τῶν σπερμάτων ἴδιον σῶμα. 39 οὐ
πᾶσα σὰρξ ἡ αὐτὴ σάρξ, ἀλλὰ ἄλλη μὲν ἀνθρώπων, ἄλλη δὲ σὰρξ
κτηνῶν, ἄλλη δὲ σὰρξ πτηνῶν, ἄλλη δὲ ἰχθύων. 40 καὶ σώματα
ἐπουράνια, καὶ σώματα ἐπίγεια· ἀλλὰ ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων
δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων. 41 ἄλλη δόξα ἡλίου, καὶ ἄλλη δόξα
σελήνης, καὶ ἄλλη δόξα ἀστέρων· ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ.

42 Οὕτως καὶ ἡ ἀνάστασις τῶν νεκρῶν. σπείρεται ἐν φθορᾷ,
ἐγείρεται ἐν ἀφθαρσίᾳ· 43 σπείρεται ἐν ἀτιμίᾳ, ἐγείρεται ἐν δόξῃ·
σπείρεται ἐν ἀσθενείᾳ, ἐγείρεται ἐν δυνάμει· 44 σπείρεται σῶμα
ψυχικόν, ἐγείρεται σῶμα πνευματικόν. εἰ ἔστιν σῶμα ψυχικόν, ἔστιν

καὶ πνευματικόν. 45 οὕτως καὶ γέγραπται, Ἐγένετο ὁ πρῶτος ἄνθρωπος Ἀδὰμ εἰς ψυχὴν ζῶσαν· ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζῳοποιοῦν. 46 ἀλλ' οὐ πρῶτον τὸ πνευματικὸν ἀλλὰ τὸ ψυχικόν, ἔπειτα τὸ πνευματικόν. 47 ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός, ὁ δεύτερος ἄνθρωπος ἐξ οὐρανοῦ. 48 οἷος ὁ χοϊκός, τοιοῦτοι καὶ οἱ χοϊκοί, καὶ οἷος ὁ ἐπουράνιος, τοιοῦτοι καὶ οἱ ἐπουράνιοι· 49 καὶ καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσομεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου.

50 Τοῦτο δέ φημι, ἀδελφοί, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύναται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ. 51 ἰδοὺ μυστήριον ὑμῖν λέγω· πάντες οὐ κοιμηθησόμεθα, πάντες δὲ ἀλλαγησόμεθα, 52 ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ, ἐν τῇ ἐσχάτῃ σάλπιγγι· σαλπίσει γάρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι, καὶ ἡμεῖς ἀλλαγησόμεθα. 53 δεῖ γὰρ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν. 54 ὅταν δὲ τὸ φθαρτὸν τοῦτο ἐνδύσηται ἀφθαρσίαν καὶ τὸ θνητὸν τοῦτο ἐνδύσηται ἀθανασίαν, τότε γενήσεται ὁ λόγος ὁ γεγραμμένος,

Κατεπόθη ὁ θάνατος εἰς νῖκος.
55 ποῦ σου, θάνατε, τὸ νῖκος;
ποῦ σου, θάνατε, τὸ κέντρον;

56 τὸ δὲ κέντρον τοῦ θανάτου ἡ ἁμαρτία, ἡ δὲ δύναμις τῆς ἁμαρτίας ὁ νόμος· 57 τῷ δὲ θεῷ χάρις τῷ διδόντι ἡμῖν τὸ νῖκος διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. 58 Ὥστε, ἀδελφοί μου ἀγαπητοί, ἑδραῖοι γίνεσθε, ἀμετακίνητοι, περισσεύοντες ἐν τῷ ἔργῳ τοῦ κυρίου πάντοτε, εἰδότες ὅτι ὁ κόπος ὑμῶν οὐκ ἔστιν κενὸς ἐν κυρίῳ.

ПОСЛАНИЕ К ГАЛАТАМ (ΠΡΟΣ ΓΑΛΑΤΑΣ)

5, 13–26

13 Не пользуйтесь свободой для угождения плоти. 16 Дела плоти и духа.

5 ... Ὑμεῖς γὰρ ἐπ' ἐλευθερίᾳ ἐκλήθητε, ἀδελφοί· μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί, ἀλλὰ διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις. 14 ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πεπλήρωται, ἐν τῷ *Ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν.* 15 εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε, βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε.

16 Λέγω δέ, πνεύματι περιπατεῖτε καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε. 17 ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα

κατὰ τῆς σαρκός· ταῦτα γὰρ ἀλλήλοις ἀντίκειται, ἵνα μὴ ἃ ἐὰν θέλητε
ταῦτα ποιῆτε. 18 εἰ δὲ πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον. 19 φανερὰ
δέ ἐστιν τὰ ἔργα τῆς σαρκός, ἅτινά ἐστιν πορνεία, ἀκαθαρσία, ἀσέλγεια,
20 εἰδωλολατρία, φαρμακεία, ἔχθραι, ἔρις, ζῆλος, θυμοί, ἐριθεῖαι,
διχοστασίαι, αἱρέσεις, 21 φθόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις,
ἃ προλέγω ὑμῖν καθὼς προεῖπον ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες
βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν.

22 Ὁ δὲ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη,
μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, 23 πραΰτης, ἐγκράτεια·
κατὰ τῶν τοιούτων οὐκ ἔστιν νόμος. 24 οἱ δὲ τοῦ Χριστοῦ [Ἰησοῦ] τὴν
σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασιν καὶ ταῖς ἐπιθυμίαις. 25 εἰ
ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν. μὴ γινώμεθα κενόδοξοι,
ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες.

ПОСЛАНИЕ К ЕФЕСЯНАМ (ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ)

5, 6–14

«Не участвуйте в делах тьмы»

5 ...6 Μηδεὶς ὑμᾶς ἀπατάτω κενοῖς λόγοις, διὰ ταῦτα γὰρ ἔρχεται
ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας. 7 μὴ οὖν γίνεσθε
συμμέτοχοι αὐτῶν· 8 ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν κυρίῳ· ὡς
τέκνα φωτὸς περιπατεῖτε 9 – ὁ γὰρ καρπὸς τοῦ φωτὸς ἐν πάσῃ
ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ – 10 δοκιμάζοντες τί ἐστιν
εὐάρεστον τῷ κυρίῳ· 11 καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις
τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε, 12 τὰ γὰρ κρυφῇ γινόμενα ὑπ'
αὐτῶν αἰσχρόν ἐστιν καὶ λέγειν· 13 τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ
φωτὸς φανεροῦται, 14 πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστιν. διὸ λέγει,

Ἔγειρε, ὁ καθεύδων,
καὶ ἀνάστα ἐκ τῶν νεκρῶν,
καὶ ἐπιφαύσει σοι ὁ Χριστός.

6, 10–20

«Облекитесь во всеоружие Божие».

6 ...10 Τοῦ λοιποῦ ἐνδυναμοῦσθε ἐν κυρίῳ καὶ ἐν τῷ κράτει τῆς
ἰσχύος αὐτοῦ. 11 ἐνδύσασθε τὴν πανοπλίαν τοῦ θεοῦ πρὸς τὸ δύνασθαι
ὑμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου· 12 ὅτι οὐκ ἔστιν ἡμῖν

ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου, πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις. 13 διὰ τοῦτο ἀναλάβετε τὴν πανοπλίαν τοῦ θεοῦ, ἵνα δυνηθῆτε ἀντιστῆναι ἐν τῇ ἡμέρᾳ τῇ πονηρᾷ καὶ ἅπαντα κατεργασάμενοι στῆναι. 14 στῆτε οὖν περιζωσάμενοι τὴν ὀσφὺν ὑμῶν ἐν ἀληθείᾳ, καὶ ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης, 15 καὶ ὑποδησάμενοι τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου τῆς εἰρήνης, 16 ἐν πᾶσιν ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνήσεσθε πάντα τὰ βέλη τοῦ πονηροῦ [τὰ] πεπυρωμένα σβέσαι· 17 καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου δέξασθε, καὶ τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστιν ῥῆμα θεοῦ, 18 διὰ πάσης προσευχῆς καὶ δεήσεως προσευχόμενοι ἐν παντὶ καιρῷ ἐν πνεύματι, καὶ εἰς αὐτὸ ἀγρυπνοῦντες ἐν πάσῃ προσκαρτερήσει καὶ δεήσει περὶ πάντων τῶν ἁγίων, 19 καὶ ὑπὲρ ἐμοῦ, ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου, ἐν παρρησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου

20 ὑπὲρ οὗ πρεσβεύω ἐν ἁλύσει, ἵνα ἐν αὐτῷ παρρησιάσωμαι ὡς δεῖ με λαλῆσαι.

ПОСЛАНИЕ К КОЛОССЯНАМ (ΠΡΟΣ ΚΟΛΟΣΣΑΕΙΣ)

3, 1–11

1 «Вы умерли, и жизнь ваша сокрыта со Христом в Боге». 5 «Совлекшись ветхого человека... облекшись в нового». «Нет ни еллина, ни иудея... но все и во всем Христос».

3 Εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος· 2 τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς· 3 ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ. 4 ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.

5. Νεκρώσατε οὖν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν ἥτις ἐστὶν εἰδωλολατρία, 6 δι᾽ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ [ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας]. 7 ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε ὅτε ἐζῆτε ἐν τούτοις. 8 νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργήν, θυμόν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν· 9 μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυσάμενοι

τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, 10 καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν, 11 ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος, ἀλλὰ [τὰ] πάντα καὶ ἐν πᾶσιν Χριστός.

ПЕРВОЕ ПОСЛАНИЕ К ТИМОФЕЮ

(ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ ΠΡΩΤΗ)

3, 14–16

Как поступать в дому Божием.

3 ...14 Ταῦτά σοι γράφω, ἐλπίζων ἐλθεῖν πρὸς σὲ τάχιον· 15 ἐὰν δὲ
βραδύνω, ἵνα εἰδῇς πῶς δεῖ ἐν οἴκῳ θεοῦ ἀναστρέφεσθαι, ἥτις ἐστὶν
ἐκκλησία θεοῦ ζῶντος, στῦλος καὶ ἑδραίωμα τῆς ἀληθείας. 16 καὶ
ὁμολογουμένως μέγα

ἐστὶν τὸ τῆς εὐσεβείας μυστήριον·
Ὃς ἐφανερώθη ἐν σαρκί,
ἐδικαιώθη ἐν πνεύματι,
ὤφθη ἀγγέλοις,
ἐκηρύχθη ἐν ἔθνεσιν,
ἐπιστεύθη ἐν κόσμῳ,
ἀνελήμφθη ἐν δόξῃ.

4, 1–6

Предостережение против лжеучителей.

4 Τὸ δὲ πνεῦμα ῥητῶς λέγει ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί
τινες τῆς πίστεως, προσέχοντες πνεύμασιν πλάνοις καὶ διδασκαλίαις
δαιμονίων, 2 ἐν ὑποκρίσει ψευδολόγων, κεκαυστηριασμένων τὴν ἰδίαν
συνείδησιν, 3 κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων ἃ ὁ θεὸς ἔκτισεν
εἰς μετάλημψιν μετὰ εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν
ἀλήθειαν. 4 ὅτι πᾶν κτίσμα θεοῦ καλόν, καὶ οὐδὲν ἀπόβλητον μετὰ
εὐχαριστίας λαμβανόμενον, 5 ἁγιάζεται γὰρ διὰ λόγου θεοῦ καὶ
ἐντεύξεως.

6 Ταῦτα ὑποτιθέμενος τοῖς ἀδελφοῖς καλὸς ἔσῃ διάκονος Χριστοῦ Ἰησοῦ, ἐντρεφόμενος τοῖς λόγοις τῆς πίστεως καὶ τῆς καλῆς διδασκαλίας ᾗ παρηκολούθηκας.

11

1 Определение веры и примеры от сотворения до Ноя; 8 от Авраама до Иосифа. «Верою Авраам...»; Исаак, Иаков, Иосиф. 23 Моисей и другие. 32 Их достижения веры; но без нас не достигли совершенства.

11 Ἔστιν δὲ πίστις ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων. 2 ἐν ταύτῃ γὰρ ἐμαρτυρήθησαν οἱ πρεσβύτεροι.

3 Πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι θεοῦ, εἰς τὸ μὴ ἐκ φαινομένων τὸ βλεπόμενον γεγονέναι.

4 Πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκεν τῷ θεῷ,
δι᾽ ἧς ἐμαρτυρήθη εἶναι δίκαιος, μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτοῦ
τοῦ θεοῦ, καὶ δι᾽ αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ. 5 Πίστει Ἑνὼχ μετετέθη
τοῦ μὴ ἰδεῖν θάνατον, καὶ οὐχ ηὑρίσκετο διότι μετέθηκεν αὐτὸν ὁ
θεός· πρὸ γὰρ τῆς μεταθέσεως μεμαρτύρηται εὐαρεστηκέναι τῷ θεῷ,
6 χωρὶς δὲ πίστεως ἀδύνατον εὐαρεστῆσαι, πιστεῦσαι γὰρ δεῖ τὸν
προσερχόμενον τῷ θεῷ ὅτι ἔστιν καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν
μισθαποδότης γίνεται. 7 Πίστει χρηματισθεὶς Νῶε περὶ τῶν μηδέπω
βλεπομένων εὐλαβηθεὶς κατεσκεύασεν κιβωτὸν εἰς σωτηρίαν τοῦ οἴκου
αὐτοῦ, δι᾽ ἧς κατέκρινεν τὸν κόσμον, καὶ τῆς κατὰ πίστιν δικαιοσύνης
ἐγένετο κληρονόμος.

8 Πίστει καλούμενος Ἀβραὰμ ὑπήκουσεν ἐξελθεῖν εἰς τόπον ὃν ἤμελλεν λαμβάνειν εἰς κληρονομίαν, καὶ ἐξῆλθεν μὴ ἐπιστάμενος ποῦ ἔρχεται.

9 Πίστει παρῴκησεν εἰς γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν
σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν συγκληρονόμων τῆς
ἐπαγγελίας τῆς αὐτῆς· 10 ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν
πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ θεός. 11 Πίστει καὶ αὐτὴ Σάρρα
στεῖρα δύναμιν εἰς καταβολὴν σπέρματος ἔλαβεν καὶ παρὰ καιρὸν
ἡλικίας, ἐπεὶ πιστὸν ἡγήσατο τὸν ἐπαγγειλάμενον· 12 διὸ καὶ ἀφ᾽ ἑνὸς
ἐγεννήθησαν, καὶ ταῦτα νενεκρωμένου, καθὼς τὰ ἄστρα τοῦ οὐρανοῦ
τῷ πλήθει καὶ ὡς ἡ ἄμμος ἡ παρὰ τὸ χεῖλος τῆς θαλάσσης ἡ
ἀναρίθμητος.

13 Κατὰ πίστιν ἀπέθανον οὗτοι πάντες, μὴ κομισάμενοι τὰς ἐπαγγελίας, ἀλλὰ πόρρωθεν αὐτὰς ἰδόντες καὶ ἀσπασάμενοι, καὶ

ὁμολογήσαντες ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς· 14 οἱ γὰρ
τοιαῦτα λέγοντες ἐμφανίζουσιν ὅτι πατρίδα ἐπιζητοῦσιν. 15 καὶ εἰ
μὲν ἐκείνης μνημονεύουσιν ἀφ' ἧς ἐξέβησαν, εἶχον ἂν καιρὸν
ἀνακάμψαι· 16 νῦν δὲ κρείττονος ὀρέγονται, τοῦτ' ἔστιν ἐπουρανίου.
διὸ οὐκ ἐπαισχύνεται αὐτοὺς ὁ θεὸς θεὸς ἐπικαλεῖσθαι αὐτῶν,
ἡτοίμασεν γὰρ αὐτοῖς πόλιν.

17 Πίστει προσενήνοχεν Ἀβραὰμ τὸν Ἰσαὰκ πειραζόμενος, καὶ
τὸν μονογενῆ προσέφερεν ὁ τὰς ἐπαγγελίας ἀναδεξάμενος, 18 πρὸς ὃν
ἐλαλήθη ὅτι Ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, 19 λογισάμενος ὅτι
καὶ ἐκ νεκρῶν ἐγείρειν δυνατὸς ὁ θεός· ὅθεν αὐτὸν καὶ ἐν παραβολῇ
ἐκομίσατο. 20 Πίστει καὶ περὶ μελλόντων εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακὼβ
καὶ τὸν Ἠσαῦ. 21 Πίστει Ἰακὼβ ἀποθνῄσκων ἕκαστον τῶν υἱῶν Ἰωσὴφ
εὐλόγησεν, καὶ προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ. 22 Πίστει
Ἰωσὴφ τελευτῶν περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐμνημόνευσεν, καὶ
περὶ τῶν ὀστέων αὐτοῦ ἐνετείλατο.

23 Πίστει Μωϋσῆς γεννηθεὶς ἐκρύβη τρίμηνον ὑπὸ τῶν πατέρων
αὐτοῦ, διότι εἶδον ἀστεῖον τὸ παιδίον, καὶ οὐκ ἐφοβήθησαν τὸ διάταγμα
τοῦ βασιλέως. 24 Πίστει Μωϋσῆς μέγας γενόμενος ἠρνήσατο λέγεσθαι
υἱὸς θυγατρὸς Φαραώ, 25 μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ
τοῦ θεοῦ ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, 26 μείζονα πλοῦτον
ἡγησάμενος τῶν Αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ,
ἀπέβλεπεν γὰρ εἰς τὴν μισθαποδοσίαν.

27 Πίστει κατέλιπεν Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ
βασιλέως, τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησεν. 28 Πίστει πεποίηκεν
τὸ πάσχα καὶ τὴν πρόσχυσιν τοῦ αἵματος, ἵνα μὴ ὁ ὀλοθρεύων τὰ
πρωτότοκα θίγῃ αὐτῶν. 29 Πίστει διέβησαν τὴν Ἐρυθρὰν Θάλασσαν
ὡς διὰ ξηρᾶς γῆς, ἧς πεῖραν λαβόντες οἱ Αἰγύπτιοι κατεπόθησαν.
30 Πίστει τὰ τείχη Ἰεριχὼ ἔπεσαν κυκλωθέντα ἐπὶ ἑπτὰ ἡμέρας.
31 Πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς ἀπειθήσασιν, δεξαμένη
τοὺς κατασκόπους μετ' εἰρήνης.

32 Καὶ τί ἔτι λέγω; ἐπιλείψει με γὰρ διηγούμενον ὁ χρόνος περὶ
Γεδεών, Βαράκ, Σαμψών, Ἰεφθάε, Δαυίδ τε καὶ Σαμουὴλ καὶ τῶν
προφητῶν, 33 οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο
δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων,
34 ἔσβεσαν δύναμιν πυρός, ἔφυγον στόματα μαχαίρης, ἐδυναμώθησαν
ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν
ἀλλοτρίων· 35 ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν·

ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν· 36 ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς· 37 ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐν φόνῳ μαχαίρης ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, 38 ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, ἐπὶ ἐρημίαις πλανώμενοι καὶ ὄρεσιν καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς.

39 Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν.

ОТКРОВЕНИЕ СВЯТОГО ИОАННА БОГОСЛОВА

(ΑΠΟΚΑΛΥΨΙΣ ΙΩΑΝΝΟΥ)

1, 1–3

1 Свидетельство Иоанна; благословение на читателя.

1 Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ θεός, δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει, καὶ ἐσήμανεν ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ, 2 ὃς ἐμαρτύρησεν τὸν λόγον τοῦ θεοῦ καὶ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ, ὅσα εἶδεν.
3 μακάριος ὁ ἀναγινώσκων καὶ οἱ ἀκούοντες τοὺς λόγους τῆς προφητείας καὶ τηροῦντες τὰ ἐν αὐτῇ γεγραμμένα, ὁ γὰρ καιρὸς ἐγγύς.

1 Снятие семи печатей: четыре всадника; души убиенных под жертвенником; землетрясение.

